On the Composition of Drugs by Places: Book 3 by Galen of Pergamon

12.599 *ΓΑΛΗΝΟΥ ΠΕΡΙ ΣΥΝΘΕΣΕΩΣ ΦΑΡΜΑΚΩΝ ΤΩΝ ΚΑΤΑ ΤΟΠΟΥΣ ΒΙΒΛΙΟΝ Γ.*

Ὥτων πόνοι γίνονται τινὲς μὲν διὰ ψύξιν, οὓς ἐν ὁδοιπορίαις καταπνευσθέντες ὑπὸ ἀνέμων ψυχρῶν ἴσχουσιν, ἔνιοι δὲ καὶ διὰ λουτρὰ ψυχρὰ καὶ διά τινα τῶν φαρμακωδῶν ὑδάτων, ἐν οἷς λούονται πολλάκις ἔνιοι τρυφῶντες, εἰσὶ δ' οἳ καὶ δι' ὠφέλειαν. γίνονται δὲ ὠτὸς ὀδύναι καὶ διὰ φλεγμονὴν, ποτὲ μὲν αὐτοῦ μόνου τοῦ κατὰ τὸν πόρον δέρματος,
12.600 ποτὲ δὲ καὶ διὰ βάθους, ἡνίκα τὸ νεῦρον τὸ ἀκουστικὸν εἰς φλεγμονώδη διάθεσιν ἀφίκηται. καθ' ὃν δὲ λόγον ἡ φλεγμονὴ τείνουσα τὰ φλεγμαίνοντα μόρια τὴν ὀδύνην ἐργάζεται, κατὰ τὸν αὐτὸν τρόπον καὶ πνεῦμα φυσῶδες οὐκ ἔχον διέξοδον ὀδυνηρὸν γίνεται. τῇ δὲ ἐκ τῶν ἔξωθεν ὑγρῶν δακνωδῶν ἐκπτώσει παραπλησίως ὀδυνῶσιν οἱ ἐν αὐτῷ τῷ σώματι γεννηθέντες ἰχῶρες.

Περὶ τῶν ἀπὸ ψύξεως ὠταλγιῶν. Τὰς μὲν οὖν ὑπὸ ψύξεως μόνης γινομένας ὀδύνας τὰ θερμαίνοντα θεραπεύει τάχιστα. καί τινας τῶν ἀγροίκων οἶδα διαγλύφοντάς τι τῶν μεγάλων κρομμύων, εἶτα πληροῦντας ἐλαίου καὶ θερμαίνοντας ἐν σποδιᾷ συμμέτρως, ἐγχέοντας τοῖς ὠσί. τινὰς δὲ ἐν ἐλαίῳ ζέοντας οὐ κρόμμυον μόνον, ἀλλὰ σκόροδον, εἶθ' οὕτως ἐγχέοντας. ἐγὼ δὲ εὐφορβίου παντελῶς ὀλίγον ἐλαίῳ παλαιῷ πολλῷ μιγνὺς χρῶμαι, καθάπερ γε καὶ πεπέρεως ἀκριβέστατα λελειωμένου. τὰς γὰρ κατὰ ψύξιν ὠταλγίας τὰ οὕτω θερμαίνοντα
12.601 μεγάλως ὀνίνησιν. ὠφελεῖ δὲ αὐτοὺς καὶ τὸ ἀμαράκινον ἔλαιον ἐγχεόμενον καὶ ἡ ἀρίστη νάρδος καὶ τὸ καλούμενον Ῥωμαϊστὶ φουλίατόν τε καὶ σπικάτον. ὠφελεῖ δὲ καὶ τὸ Κομμαγηνόν. εἰ δὲ καὶ πήγανον ἑψήσεις ἐλαίῳ μὴ στύφοντι καὶ προσέτι λεπτομερεῖ, καθάπερ ἐστὶ τὸ Σαβῖνον, ὀνήσεις μεγάλως.

Περὶ τῶν ἐξ ὕδατος φαρμακώδους ὠταλγιῶν. Ὅταν δὲ ἐξ ὕδατος φαρμακώδους περιέχηταί τι κατὰ τὸν ἀκουστικὸν πόρον, συνεχῶς ἐγχεῖν ἔλαιον προσήκει, ἐκκλύζοντας αὐτὸ καὶ δι' ἐρίου μαλακοῦ σπογγίζοντας

καὶ αὖθις ἐγχέοντας. παρηγορεῖ δὲ αὐτοὺς μεγάλως καὶ ὠοῦ τὸ λευκὸν, ᾧ καὶ πρὸς τὰς ὀφθαλμίας χρώμεθα, καὶ γάλα γυναικεῖον. εὔδηλον δὲ ὅτι πᾶν ὅ τι ἂν προσφέρηται θερμὸν εἶναι χρὴ μετρίως. ὠφελεῖ δὲ αὐτοὺς καὶ τὸ χήνειον στέαρ ἱκανῶς· ὠφελεῖ δὲ καὶ τὸ τῶν ἀλωπέκων.

Περὶ τῆς διὰ φλεγμονὴν γινομένης ὠταλγίας. Εἰ δὲ φλεγμονή τις εἴη, κάλλιστον πρὸς αὐτὴν φάρμακον ἐγχεόμενον νάρδινον μύρον μετὰ βραχυτάτου βασιλικοῦ καλουμένου φαρμάκου. προσαγορεύεται δὲ τοῦτο
12.602 καὶ τετραφάρμακον· καὶ τὸ Κομμαγηνὸν δὲ ἐπιτήδειόν ἐστι. καὶ τὸ διὰ τῶν στεάτων φάρμακον, οὗ τὴν σύνθεσιν ὀλίγον ὕστερον γράψω. βιαζομένης δὲ τῆς ὀδύνης ἀναγκαῖόν ἐστι χρῆσθαι καὶ τοῖς ναρκῶσι μὲν αἴσθησιν, ὥσπερ καὶ τοῖς ἐπὶ κώλῳ καὶ νεφροῖς καὶ ὅλως ἅπαντα πάσχοντι μορίῳ σφοδρῶς ἀλγοῦσι. μίγνυται δὲ τοῦτο τῷ γυναικείῳ γάλακτι καὶ τῷ λευκῷ τοῦ ὠοῦ, ἃ καὶ καθ' ἑαυτὰ πολλάκις ἥρμοσεν ὤτων φλεγμοναῖς. μίγνυται δὲ καὶ καστορίῳ τὸ ὄπιον καὶ χρὴ παρεσκευάσθαι τοῦτο πρὸ πολλοῦ μεμιγμένον, ἤτοι γε ἴσῳ κατὰ τὸν σταθμὸν ἢ διπλασίῳ τῷ καστορίῳ, πρὸς μὲν τὰς σφοδροτάτας ὀδύνας ἴσῳ, πρὸς δὲ τὰς ἐλάττονας διπλασίῳ. τὸ δὲ ὑγρὸν ἔστω τὸ ἐκ τοῦ γλεύκους ἔψημα, πολὺ γὰρ ἀνωδυνώτερον τοῦτο τῶν γλυκέων ἐστὶν οἴνων. εὐθέως οὖν ἀπ' ἀρχῆς ἀκριβῶς λεῖα τὰ εἰρημένα φάρμακα τούτῳ μιγνύσθω, τὸ μὲν καστόριον προλελειωμένον ἀκριβῶς, ὁ δὲ τῆς μήκωνος ὀπὸς ἐν αὐτῷ τῷ ἐψήματι λελυμένος καὶ οὕτω μιχθέντα τὰ τρία λειούσθω καλῶς. εἶτα ἐπὶ τῆς χρήσεως ἀνιέσθω πάλιν ἐψήματι μέχρι
12.603 τοσαύτης συστάσεως, ὡς ἐγχεῖσθαι δύνασθαι διὰ τῶν καλουμένων ὠτεγχύτων, ἐπὶ λύχνῳ χλιανθέντων. ἐγὼ δὲ οὐκ ἐγχέω τοῖς περιωδυνοῦσιν οὐδὲν φάρμακον, οὐδ' ἐκμάττω δι' ἐρίου, τῇ πείρᾳ τοῦτο διδαχθεὶς, ὡς ἄμεινόν ἐστι μηδ' ὅλως ψαύειν τοῦ πόρου τοῦ ἀκουστικοῦ κατὰ τὸν καιρὸν τῆς ὀδύνης. ἀλλὰ διὰ μηλωτίδος ἀμφιεσθείσης ἐρίῳ μαλακωτάτῳ πυριῶ τε τοὺς περιωδυνῶντας, ἐμβάλλω τε τὸ φάρμακον ὠδί πως ἑτοιμασθὲν, κεχλιασμένον ἐν ὠτεγχύτῃ μετρίως οὕτως, ὡς πυνθανομένων ἡμῶν τοῦ κάμνοντος, εἰ χλιαρὸν αὐτῷ φαίνοιτο καὶ εἰ ἔτι δύναται φέρειν αὐτὸ, θερμότερον γενόμενον μέχρι τοσούτου προσάγειν τὴν θερμασίαν, ὡς μηδέπω λυπεῖν. βάπτων οὖν εἰς τὸ οὕτω παρεσκευασμένον φάρμακον τὴν μηλωτίδα κατὰ τὴν ἀρχὴν τοῦ πόρου

μετρίως ἐπιτιθεὶς, ἀπορρεῖν εἰς τὸ βάθος ἐπίτρεπε καὶ μετὰ ταῦτα πάλιν αὖθις καὶ αὖθις καὶ πολλάκις βάπτων τὸ αὐτὸ τοῦτο ποίει, μηδένα διαλείπων χρόνον. εὔδηλον δ' ὅτι τούτου γινομένου πάντως τι καὶ ἀπορρυήσεται πρὸς τοὐκτὸς πληρωθέντος ὅλου τοῦ ἀκουστικοῦ πόρου.

12.604 τοῦτο τοίνυν δέχου μετρίως, καθ' ὅσον οἷόν τε μὴ ψαύων τοῦ ὠτός. ἐπειδὰν δὲ καλῶς πυριάσῃς, ἐάσας τὸν πόρον, ὃς ἐπληρώθη τοῦ φαρμάκου, μαλακὸν ἐπίθες ἔξωθεν ἔριον αὐτῷ τε τῷ στόματι τοῦ πόρου καὶ μετὰ τοῦτο παντὶ τῷ ὠτί. καὶ ἐὰν δεήσῃ πυριάσαι πάλιν, ἀτρέμα βαστάξας τὸ ἀντεπικείμενον ἔξωθεν ἔριον αὖθις ὁμοίως πυρία φυλαττόμενος ὡς οἷόν τε μηδ' ἄλλου τινὸς μέρους τοῦ ὠτὸς ἅψασθαι. καὶ τούτῳ γε πρόσεχε τὸν νοῦν ὡς μεγίστῳ παραγγέλματι τῆς τῶν ὤτων ἐπιμελείας. ἡ πυρία δέ σοι γινέσθω, καθὰ προείρηται, διὰ τῶν ἀνωδύνων, ἅπερ ἐστὶ τό τε κάλλιστον νάρδινον μύρον, ἔχον ὀλίγιστον ἐν αὐτῷ τοῦ τετραφαρμάκου, καὶ μετὰ τοῦτο τὸ Κομμαγηνόν τε καὶ Σούσινον καὶ τὰ πολυτελῆ μύρα τῶν πλουσίων γυναικῶν, ἃ καλοῦσιν αὗται σπικάτα καὶ φουλιάτα. ἔστι δὲ παχύτερα ἢ ὥστε ἐγχεῖσθαι. λύειν οὖν αὐτὰ διά τε τοῦ ναρδίνου μύρου καὶ, εἰ θέρος εἴη καὶ θερμασίας αἴσθησις τῷ κάμνοντι, κατὰ τὸ φλεγμαῖνον οὖς διὰ ῥοδίνου καλοῦ, μὴ παρόντος δὲ τούτου, δι'

12.605 ἀμυγδαλίνου. μέμνησο δ' ὅτι καλὸν ἀεὶ λέγω ῥόδινον, ἐν ᾧ πλεῖστα μὲν ἀποβέβρεκται ῥόδα, τὸ δὲ ἔλαιον, ἐν ᾧ ταῦτα ἀποβέβρεκται τῶν ὠμοτριβῶν καλουμένων ἔστω, εἰ οἷόν τε, χωρὶς ἁλῶν ἐσκευασμένον, οὐδενὸς ἄλλου προσεμβεβλημένου τοῖς ῥόδοις, καθάπερ οἱ τὰ στύμματα προσεμβάλλοντες ποιοῦσιν, ἕνεκα τοῦ πολλῷ χρόνῳ διαμεῖναι τὸ ῥόδινον εὐῶδες.

Περὶ τῶν ἐπὶ πνεύματι φυσώδει ἢ παχέσι καὶ γλίσχροις χυμοῖς ὠταλγιῶν. Εἰ δὲ καὶ πνεῦμα φυσῶδες ἤ τινα παχὺν ἢ γλίσχρον χυμὸν, οὐκ ἔχοντα διέξοδον, ἐγκατακεκλεῖσθαι στοχάσαιο καὶ τῶν ἐκφραττόντων τι φαρμάκων μίγνυε. τεχνικὸς γὰρ στοχασμός σοι γένοιτο τῶν τοιούτων αἰτίων τοῦ πόνου τά τε προηγησάμενα καὶ τὰ παρόντα πυθομένῳ. ψύξεως μὲν γὰρ προηγησαμένης τὸ φυσῶδες ἀθροίζεται πνεῦμα, βάρους δὲ κεφαλῆς ἐδεσμάτων τε φλεγματωδῶν καὶ κακοχύμων οἱ ψυχροὶ καὶ παχεῖς χυμοί. τούτοις γὰρ ἐπιγενομένης ψύξεως αἱ ὀδύναι συμβαίνουσι τῶν πρότερον διαπνεομένων ἐπισχεθέντων διὰ τὴν πύκνωσιν. ἐπὶ

12.606 τούτων οὖν ὁ ἀφρὸς τοῦ νίτρου καὶ τὸ νίτρον αὐτὸ τὸ μαλακὸν, ἀφρόνιτρόν τε τὸ τοιοῦτον καὶ τὸ καλούμενον ἀμυγδάλινον ἔλαιον εὐλόγως μίγνυται τοῖς ὠτικοῖς φαρμάκοις. ἐκ τούτου τοῦ γένους ἐστὶν ὅ τε λευκὸς καὶ ὁ μέλας ἐλλέβορος καὶ τὸ στρουθίον, ἀμύγδαλά τε τὰ πικρὰ καὶ τῶν τριῶν ἀριστολοχιῶν ἣν ἂν ἔχοις, ἥ τε Ἰλλυρικὴ ἶρις. εἰ δὲ καὶ τὸ κιννάμωμον ἔχοις, ἐμβαλεῖς καὶ τούτου, μὴ παρόντος δὲ αὐτοῦ, κασσίαν τήν τε ζίγιρ καλουμένην καὶ τὴν μοτώδη καὶ τὸ καρπήσιον, ὃ πλεῖστον μέν ἐστιν ἐν Σίδῃ τῆς Παμφυλίας καὶ διὰ τοῦτο εὐωνότατον πιπράσκεται. Κόιντος δὲ ὁπότε ἀποροίη κινναμώμου, τοῦτο ἐπέβαλλεν ἀντ᾽ αὐτοῦ διπλάσιον, ὥσπερ ἔνιοι τὴν κασσίαν. ἐκφρακτικὰ δὲ τῶν ἐν τοῖς ὠσὶ πόρων εἰσὶ καὶ τὰ τοὺς ἐν τοῖς νεφροῖς λίθους θρύπτοντα καὶ πᾶν εἴ τι λεπτομερὲς ἄνευ δήξεως, ὅπως μὴ παροξύνῃ τὴν ὀδύνην. ἐν οἷς ἐστι καὶ σικύου τοῦ ἀγρίου ἡ ῥίζα καὶ βρυωνίας καὶ ἄρου καὶ δρακοντίου καὶ κενταυρίου καὶ πολίου καὶ ὅλως τῶν πικρῶν ἁπάντων. ἀδήκτως γὰρ καὶ
12.607 ἀλύπως ἐκκαθαίρει ταῦτα τοὺς πόρους, διαρρύπτει τε καὶ διατέμνει τὰ ἐμπεφραγμένα. διὰ τοῦτο δὲ γράφω πολλὰ παραδείγματα τῶν τοιούτων, καίτοι γε ἐν τοῖς περὶ τῶν ἁπλῶν φαρμάκων τῆς δυνάμεως εἰρηκὼς πάντα, διότι βούλομαι κατὰ πάντα τόπον τῆς γῆς εὐπορεῖν ἡμᾶς βοηθημάτων, ἔχοντας πρόχειρον αὐτῶν τὴν μνήμην. ἄλλα γὰρ ἐν ἄλλοις χωρίοις πλεονάζει τε καὶ βελτίω τῶν ἐν ἑτέροις γινομένων ἐστίν. ἐπεί τοι τό γε διὰ τῶν στεάτων ἀρκέσει σοι σύνθετον φάρμακον ἔκ τε τῶν ἁπλῶν, ὅσα μικρῷ πρόσθεν διῆλθον ὀδύνης πραϋντικά. θαυμάσαι δέ ἐστι τῶν ἰατρῶν, ὅσοι χωρὶς διορισμοῦ πρὸς ὀδύνας ὤτων ἔγραψάν τινα φάρμακα. τὰ μὲν γὰρ ὑπὸ ψύξεως ὀδυνώμενα τάχιστα θεραπεύεται διὰ τῶν θερμαινόντων. ἐὰν δὲ ὑπὸ δριμύτητος δακνώδους ἢ φλεγμονῆς σφυγματώδους ἡ ὀδύνη γίνηται, μεγίστη βλάβη συμπίπτει τοιούτων προσαχθέντων φαρμάκων. αἱ μέντοι μέτριαι φλεγμοναὶ καὶ μὴ σφυγματώδεις καὶ διὰ τῶν τοιούτων θεραπεύονται φαρμάκων, ὁποῖόν ἐστιν ὄξος μετὰ ῥοδίνου χλιανθὲν, ἀναμιχθέντων ἀμφοῖν ἀκριβῶς. οὕτω
12.608 δὲ καὶ γλαύκιον, ἐπ᾽ ἀκόνης ἰατρικῆς ἀποτριβόμενον μετ᾽ ὄξους ὀνίνησι τὰς ἐπὶ φλεγμονῆς βραχείας ὀδύνας. ἄμεινον δὲ τὸν ἐκ τοῦ γλαυκίου προκατεσκευασμένον τροχίσκον ἔχειν, πολυχρηστότατον φάρμακον, ὅστις γίνεται λειωθέντος ἀκριβῶς τοῦ γλαυκίου δι᾽ ὕδατος ὀμβρίου,

κᾆπειτα ξηρανθέντος τε καὶ ἀναπλασθέντος. ἐὰν δὲ ψαθυρώτερον ᾖ, ὡς ἀναπλάττεσθαι φαίνηται, μίξεις αὐτῇ κόμμεως ὀλίγον. ἀρκεῖ δὲ δωδέκατον ἢ πεντεκαιδέκατον εἶναι μέρος αὐτοῦ τοῦ γλαυκίου. καὶ τὰ διὰ γλαυκίου δὲ κολλύρια κατὰ τὸν αὐτὸν τρόπον ἀποτριβόμενα δι' ὄξους ὀνίνησιν ἐνσταζόμενα τοῖς ὠσὶ, καὶ τούτων οὐδὲν ἧττον τὰ διὰ κρόκου. ταῦτα μὲν οὖν εἰσιν ὀδύνης τε καὶ φλεγμονῆς ἰάματα· περὶ δὲ τῶν ἄλλων διαθέσεων τῶν ἐν τοῖς ὠσὶν γινομένων ἃ διὰ τῆς ἐμῆς ἐμπειρίας ἔκρινα διελθὼν, οὕτως ἐπὶ τὰ τοῖς πρὸ ἐμοῦ γεγραμμένα καταβήσομαι.

Περὶ τῶν ἐν τοῖς ὠσὶν ἑλκῶν. Ὅσα μὲν πρόσφατα τό τε γλαύκιον ἀποθεραπεύει, μόνον ἀποτριβόμενον μετ' ὄξους, ὡς ἀρτίως εἴρηται, καὶ τὰ δι' αὐτοῦ κολλύρια πάντα καὶ τὰ διάκροκά τε καὶ τὰ διάρροδα
12.609 καλούμενα παρὰ τῶν ἰατρῶν, ὥσπερ καὶ τὸ τοῦ Νείλου, θεραπεύει δὲ καὶ τὸ τοῦ Δαμοκράτους διάσμυρνον. τὰ δὲ πυορροοῦντα χωρὶς ὀδύνης, ὅσα μὲν μετρίως τοῦτο πάσχει, διὰ τῶν αὐτῶν θεραπεύεται, τὰ δὲ ἰσχυρῶς διὰ τῶν τοιούτων, ὁποῖός ἐστιν ὁ Ἀνδρώνειος τροχίσκος καὶ ὁ τοῦ Μούσα, μεθ' ἑψήματος καὶ ὀλίγου ὄξους ἀνιέμενος, ὧν ἡ ποικιλία τῆς συνθέσεως αὖθις εἰρήσεται. νικωμένων δὲ καὶ τούτων σκωρίαν σιδήρου μετ' ὄξους δριμυτάτου λειώσας ἐπιπλεῖστον πολλαῖς ἡμέραις ἐν ἡλίῳ θαρρῶν χρῶ, εἰ καὶ παράλογον εἶναι δοκεῖ τῶν δριμυτάτων φαρμάκων ἀνέχεσθαι τὸ οὖς, ὃ μικρὸν ἔμπροσθεν εἶπον, οὐδὲν δὲ τῶν μαλακωτάτων ἐγχεομένων ἀλύπως ὑπομένειν τὴν πρόπτωσιν, ἀλλὰ καὶ ταῦτα φαίνεσθαι πλήττοντα.

Περὶ δυσηκοϊῶν καὶ ἤχων. Λείποιτ' ἂν οὖν ἔτι περὶ δυσηκοΐας τε καὶ ἤχων διελθεῖν, οὐδὲν κοινωνούντων ἀλγήμασί τε καὶ ἑλκώσεσι, περὶ ὧν ἑξῆς ἐρῶ τὰς ἐπαινουμένας μεγάλας ὑπὸ τῶν ἐνδόξων ἰατρῶν πρότερον
12.610 διελθὼν ὠτικὰς δυνάμεις, καθ' ὅντινα λόγον συνετέθησαν. ἄρξομαι δὲ ἀπὸ τῆς ὑφ' Ἥρα γεγραμμένης.

Ὠτικὴ, ὡς Ἥρας. Ἥρας μὲν οὖν οὕτως ἔγραψεν. ὠτικὴ πρὸς πᾶν ἄλγημα καὶ πᾶν ἕλκος. ταύτῃ ἐχρησάμην ἐπί τινος πυρέσσοντος καὶ παρακόπτοντος διὰ τὰ ἀλγήματα καὶ ἐποίησε δαιμονίως. ℥ σμύρνης ʃ α′. λιβάνου ʃ γ′. οἱ δὲ ʃ ζ′. ἀφρονίτρου ʃ γ′. κρόκου δραχμὰς δ′. οἱ δὲ ʃ α′. μηκωνείου ʃ γ′. χαλβάνης ʃ β′. ἀμύγδαλα πικρὰ λελεπισμένα κ′.

ἀναλάμβανε ὄξει, ἐπὶ δὲ τῆς χρείας περιωδυνίας μὴ οὔσης, ῥοδίνῳ διεὶς ἔνσταζε, δυσηκοΐας δὲ οὔσης ὄξει διείς. Ἥρας μὲν οὖν ἓν τοῦτο ἠρκέσθη γράψαι φάρμακον ἀλγήματός τε παντὸς ἴαμα καὶ ἕλκους ὤτων· ἐγὼ δὲ τὰς μὲν ὀδύνας τῇ τε διὰ τῶν στεάτων, ὡς εἴρηκα, γινομένῃ θάλψει καὶ τῷ ναρδίνῳ μύρῳ μετὰ τοῦ τετραφαρμάκου πραΰνεσθαί φημι, σὺν τῷ καὶ τὰς διαθέσεις αὐτὰς ὠφελεῖσθαι, καθάπερ γε καὶ ὠοῦ τῷ λευκῷ καὶ γάλακτι γυναικείῳ. πραΰνεσθαι δὲ μόνον ἄνευ τοῦ τὰς διαθέσεις
12.611 ὠφελεῖσθαι διὰ τοῦ μηκωνείου, κατὰ δέ τι συμβεβηκὸς οὐ πρώτως εἴποι τις ἂν καὶ τὰς διαθέσεις ὀνίνασθαι. παυσαμένης γὰρ τῆς ὀδύνης καὶ ὕπνων γενομένων ἡ φύσις πέττει τὰς τὴν ὀδύνην ἐργαζομένας διαθέσεις. τὰ δὲ ἕλκη τὰ ἐν τοῖς ὠσὶν ἐθεράπευσα διὰ παντὸς τῷ γλαυκίῳ δι᾽ ὄξους, ὥσπερ γε μετὰ ῥεύματος ἢ πύου τοῖς τροχίσκοις, ἀπὸ τῶν πρᾳοτέρων ἀρχόμενος, ὁποῖος ἐστιν ὁ Πολυείδου καὶ μετὰ τοῦτον ὁ Ἀνδρώνειος καὶ μετ᾽ ἐκεῖνον ὁ καλούμενος Βιθυνὸς, ᾧ παραπλήσιός ἐστιν ὁ ἐμὸς, τουτέστιν ὁ διὰ χάρτου κεκαυμένης, ὡς δὲ ἐγὼ νομίζω, καὶ βελτίων. γίνεται δὲ οὐκ ἀεὶ χρεία πάντων, ἀλλ᾽ ἀρκεῖ τοὐπίπαν εἷς, ἐὰν ἐπίστηταί τις αὐτῷ χρῆσθαι, ποτὲ μὲν διὰ σιραίου λύων, ὁπόταν βούληται πρᾳότερον ἐργάσασθαι τὸ φάρμακον, αὖθις δὲ δι᾽ οἴνου γλυκέος, εἶτα δι᾽ ὄξους μὴ δριμέος, εἶτα διὰ τοῦ δριμέος, ἐπὶ τέλει δὲ διὰ τοῦ δριμυτάτου. διὸ καὶ διὰ τῆς τοιαύτης μίξεως ἄλλοτε ἄλλης γινομένης ἐκλύειν δυνάμενος τὸ σφοδρὸν τοῦ φαρμάκου τὸ ἰσχυρότατον σκευάσας μόνον, ἔχειν δυνήσῃ. θαυμάσαι δὲ ἔστιν, ὡς ἔφην, τῶν πλείστων ἰατρῶν
12.612 ὠταλγίας φάρμακα γραψάντων πάμπολλα χωρὶς διορισμῶν, ἐφεξῆς ἀλλήλων ἐναντιωτάτας ἔχοντα δυνάμεις· οἷον εὐθέως, ἀπὸ γάρ τοι τῶν παλαιοτέρων ἄρξασθαι κάλλιον, Ἀπολλώνιος ὁ Ἡροφίλειος ἐν τῇ τῶν εὐπορίστων φαρμάκων γραφῇ κατὰ μὲν τὴν ἀρχὴν τοῦ βιβλίου κεφαλαλγίας ἰάματα γράφων, πρῶτα μὲν πάντων ἔταξε τὰ δι᾽ ἔγκαυσιν, εἶτ᾽ ἐφεξῆς δεύτερα τὰ διὰ ψύξιν, εἶτ᾽ ἐπ᾽ αὐτῷ τὰ διὰ μέθης τε καὶ ἀκρατοποσίης· αὐτὸς γὰρ οὕτως ὠνόμασε· τέταρτα δὲ τὰ διὰ πληγὴν ἢ πτῶμα, τελευταῖα δ᾽, ὡς αὐτὸς προΰγραψε, πρὸς τὰς τῶν κροτάφων ἀλγηδόνας καὶ τοὺς πόνους ὅλους τῆς κεφαλῆς τοὺς χωρὶς φανερᾶς αἰτίας γινομένους. ἐπὶ δὲ τῆς τῶν ὤτων ὀδύνης οὐδένα προσέθηκε διορισμὸν, ἀλλ᾽ ἁπλῶς προγράψας πρὸς ὠταλγίαν ἑξῆς καταλέγει

φάρμακα τὰ μὲν θερμαίνοντα, τὰ δὲ ψύχοντα, καὶ τὰ μὲν ὑγραίνοντα, τὰ δὲ ξηραίνοντα, καὶ κατὰ τὰς δευτέρας δυνάμεις τε καὶ ποιότητας τὰ μὲν αὐξηρὰ, τὰ δὲ στρυφνὰ, τὰ δὲ πικρὰ, τὰ δὲ δριμέα, τὰ δ' ὀξέα, τὰ δ' ἁλυκὰ,
12.613 καὶ πρὸς τούτοις ἔτι τὰ μὲν διαφοροῦντα, τὰ δὲ σφίγγοντά τε καὶ συνάγοντα καὶ ἀποκρουόμενα τὰς ἐπιρροὰς, τὰ δ' ἑλκτικὰ τῶν ἐν βάθει, καὶ τὰ μὲν ἐκφρακτικὰ, τὰ δὲ ῥυπτικὰ, τὰ δὲ τῆς αἰσθήσεως ναρκωτικά. εἰ μὲν οὖν μία διαθεσίς ἐστιν ἀλγημάτων αἰτία, μίαν εὔλογον εἶναι καὶ τὴν τῶν ἰωμένων αὐτὴν δύναμιν· εἰ δὲ πολλαὶ, τοσοῦτον εἶναι χρὴ καὶ τὸν τῶν ἰωμένων ἀριθμὸν, ὅσος ὁ τῶν ἐργαζομένων αἰτίων ἐστίν. Ἡροφίλου τοίνυν οὕτως ἐπαινοῦντος τοὺς διορισμοὺς ὡς οὐκ οἶδ' εἴ τις ἄλλος, αὐτοῦ τε τοῦ Ἀπολλωνίου τὰ τῆς κεφαλαλγίας φάρμακα μετὰ διορισμῶν γράψαντος, ἔτι μᾶλλον θαυμάζω τὸ κατὰ τὰς ὠταλγίας ἀδιόριστον αὐτοῦ. κατέλιπε μὲν οὖν καὶ τὸ πέμπτον γένος τῶν φαρμάκων ἀδιόριστον, ὃ κατὰ τὴν τελευτὴν ἔγραψα πρὸς τὰς χωρὶς φανερᾶς αἰτίας κεφαλαλγίας, καίτοι καὶ τὰς τοιαύτας κεφαλαλγίας ἀναγκαῖόν ἐστι πρῶτον μὲν τοῖς κοινοῖς γένεσι τῶν τὰς ὀδύνας ἐργαζομένων αἰτίων ὑποπεπτωκέναι συνεχείας λύσει ἢ δυσκρασίᾳ, ὡς ἐδείξαμεν· εἶτα δηλονότι καὶ τοῖς τὰς
12.614 αὐτὰς ἐργαζομένοις, ἃ διώρισται μὲν ὑπ' ἐμοῦ πάντα κατὰ τὰς οἰκείας πραγματείας. νυνὶ δὲ τῶν ἐν ταῖς ὠταλγίαις μνημονεύσω μόνον, ὑστάτης ἁπασῶν τῆς πραγματείας οὔσης ταύτης, ὡς πολλάκις εἴρηται, κατὰ τῆς θεραπευτικῆς μεθόδου βιβλία. τὰς γὰρ μεθόδους τῆς θεραπείας ἐν ἐκείνῃ γράφων, ἐν ᾗ δύο που παραδείγματα τῶν κατὰ μέρος προσέθηκα, τὸ πλῆθος τῶν φαρμάκων ὅσα συντίθεμαι ἐκ πολλῶν, εἰς τὴν ἐνεστῶσαν ἀναβαλλόμενος πραγματείαν· ὡς ἡγεῖσθαι μὲν τῆς θεραπευτικῆς μεθόδου τὰ περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως, ἕνδεκα τὸν ἀριθμὸν ὄντα. μετὰ ταῦτα δὲ τὰ τῆς θεραπευτικῆς μεθόδου τεσσαρασκαίδεκα, μεθ' ἃ τὰ τῆς νῦν προκειμένης γράφεσθαι τὰ περὶ τῆς συνθέσεως τῶν φαρμάκων.

Περὶ τῶν ὑπὸ Ἀπολλωνίου γεγραμμένων πρὸς ὠταλγίαν. Ὅτι δὲ λέγων τὸν Ἀπολλώνιον ἡμαρτηκέναι μὴ διορισάμενον ἐπὶ ποίας ὠταλγίας ἕκαστον ὧν γράφει φαρμάκων ὑπάρχει χρήσιμον, οὐ καταψεύδομαι τἀνδρὸς, ἐξ ὀλίγων ἀποδείξω παραδειγμάτων. προσγράψας γὰρ, ὡς ἔφην,
12.615 πρὸς ὠταλγίαν ἔγχυτα καὶ γράψας ἐν αὐτοῖς, χήνειον ἢ ὀρνίθειον στέαρ

ἡσυχῇ τήξας ἔνσταζε· πόλιν ἐφεξῆς γράφει, χολὴν ταυρείαν ἢ αἰγείαν μετὰ χυλοῦ πράσου ἔνσταζε. τὸ μὲν οὖν στέαρ ὧν εἶπε ζώων παρηγορικώτατόν ἐστιν ἁπασῶν τῶν τὰς ὀδύνας ἐργαζομένων διαθέσεων, μετὰ τοῦ καὶ μεγάλως αὐτῶν ὠφελεῖν ἐνίας. αἱ χολαὶ δὲ αἱ μετὰ πράσου τάς τε διὰ φλεγμονὴν ὀδύνας αὐξήσουσι καὶ τὰς ἐπὶ δριμέσι καὶ δάκνουσιν ὑγροῖς, μόνας δὲ ὠφελήσουσι τὰς δι᾽ ἔμφραξιν ἢ ψύξιν γεννωμένας ἤτοι κατὰ ψιλὴν δυσκρασίαν τῆς ψύξεως τῶν στερεῶν μορίων ὀδυνηρᾶς γενομένης ἢ διὰ τὸ γεννᾶσθαι μὲν ἐν ταῖς τοιαύταις διαθέσεσι φυσώδη πνεύματα καὶ χυμοὺς ψυχροὺς, κωλύεσθαι δὲ ἐκκρίνεσθαι διὰ τὴν τοῦ περιέχοντος πύκνωσιν ἄνευ φλεγμονῆς γενομένην. ἐκκριθέντων γὰρ ὑπὸ τῶν οὕτω δριμέων καὶ θερμῶν φαρμάκων τῶν ἀλγημάτων αἰτίων, θεραπεία τε ἅμα καὶ ἀνωδυνία γίνεται. τὸ μὲν οὖν ὀρνίθειόν τε καὶ τὸ χήνειον στέαρ, ἐὰν μὲν εὕρῃ κεκενωμένον τὸ σῶμα καὶ μηκέτι ἐπιρρέοντα τὸν τὴν φλεγμονώδη
12.616 διάθεσιν ἐργαζόμενον χυμὸν, κατὰ τοὺς δύο λόγους ὀνήσει, τόν τε παρηγορικὸν καὶ τὸν θεραπευτικόν. ἐὰν δὲ ἐπιρρέοντος ἔτι τοῦ αἰτίου προσενεχθῇ, τὴν διάθεσιν μὲν οὐδὲν ὀνίνησι, παρηγορεῖ δὲ τὸ τῆς ὀδύνης σύμπτωμα, καθάπερ γε κἂν ἐπὶ χυμῶν δριμύτητι ἡ δῆξις γίνηται. χολὴ δὲ οὐδέποτε μετὰ πράσου χυλοῦ δύναταί τι χρηστὸν ἐπὶ τῶν εἰρημένων διαθέσεων ἐργάζεσθαι, καθάπερ οὐδὲ πέπερι, καίτοι τοῦτό γε οἶδα τῶν ἰατρῶν τινα πράξαντα γυναικὸς ἀλγησάσης οὖς, ἐν χρήσει θερμῶν ὑδάτων αὐτοφυῶν. εἰωθὼς γὰρ πάντα πιστεύειν τοῖς τῶν εὐπορίστων φαρμάκων Ἀπολλωνίου βιβλίοις, κεχρημένος τε κατὰ τύχην πολλάκις ἤδη τῷ διὰ τοῦ πεπέρεως βοηθήματι, καὶ τότε ἤλπισεν ὠφελήσειν τι τὴν ὠταλγίαν· ἀλλ᾽ οὕτω γε ὑπ᾽ αὐτοῦ παρωξύνθη τὸ γύναιον, ὡς ὀλίγου δεῖν ἀπάγξασθαι. γράφει οὖν ὁ Ἀπολλώνιος ὠδί. πεπέρεως ἐν οἴνῳ ἀπεξεσμένου λεάνας καὶ σύμμετρον τῷ πάχει ποιήσας ἔνσταζε. γράφει δὲ ἐν αὐτοῖς τούτοις ἐφεξῆς τὰ διὰ πεπέρεως καὶ ταῦτα. λύκειόν τε καὶ μηκώνειον ἴσα, γάλακτι γυναικείῳ διεὶς χρῶ, καὶ τούτῳ γε ἐφεξῆς
12.617 ἕτερον τουτί· καστορίου καὶ μηκωνείου ἴσον, φώξας ἐπ᾽ ὀστράκου μάλιστα μὲν Ἀττικοῦ, εἰ δὲ μὴ, Ῥωμαϊκοῦ, καὶ λεάνας διεὶς γλυκεῖ ἔνσταζε. τὰ μὲν οὖν διὰ τοῦ μηκωνείου πάντα φάρμακα, ναρκωτικὰ τῆς αἰσθήσεως ὄντα, κατὰ τοῦθ᾽ ἡμᾶς ἀναγκάζει ποτὲ αὐτοῖς ἐπὶ τῶν ὑπὸ

μηδενὸς τῶν παρηγορικῶν ὠφελουμένων χρῆσθαι, τὸ δὲ διὰ τοῦ πεπέρεως φάρμακον ἐξ ἑτέρου γένους ἐστὶν, ὥσπερ γε καὶ τὸ διὰ τῶν στεάτων ἐξ ἄλλου, καθάπερ γε καὶ τὸ μετὰ ταῦτα γεγραμμένον ἐφεξῆς φάρμακον ὡδί πως. χαλβάνην Σουσίνῳ μύρῳ διεὶς πρόσμιξον μέλι καὶ ῥόδινον καὶ οἰσυπηρὸν ἔριον περὶ μηλωτίδα συστρέψας, κίνει καὶ χλιαίνων ἔνσταζε. διαφορητικὸν γὰρ ἀλύπως ἐστὶ τοῦτο, δυνάμενον ἁρμόττειν φλεγμοναῖς ἐν αἷς οὐκέτι οὐδὲν ἐπιρρεῖ. καλῶς δὲ ποιήσειε κἀπὶ τῶν διὰ ψύξιν ἀλγούντων. ἴσως δέ τις ἐπιζητήσει διὰ τίνα τὴν αἰτίαν οὐ μόνον τοῦ Ἀπολλωνίου, ἀλλὰ καὶ ἄλλων τινῶν ἀξιολόγων ἀνδρῶν φῶξαι κελευόντων τὸ μηκώνειόν τε καὶ τὸ καστόριον, ὅπως
12.618 αὐτῶν τὸ σφοδρὸν τῆς δυνάμεως μειωθείη, παρέλιπον ἐγὼ τοῦτο προσθεῖναι κατὰ τὸν ἔμπροσθεν λόγον, ἡνίκα τὴν ἐμὴν ἀγωγὴν τῆς θεραπείας τῶν ὠταλγιῶν ἔγραφον. ἀπολογητέον οὖν αὐτῷ κατὰ τάδε. τὸ μὲν οὖν καστόριον οὐδ’ ὅλως ἀξιῶ φώσσειν· οὐ γὰρ ὡς ναρκωτικὸν αὐτὸ τῆς αἰσθήσεως τῷ μηκωνείῳ μίγνυμεν, ἀλλὰ τοὐναντίον ἅπαν ὡς ἀμβλῦνον τὸ σφοδρὸν τῆς ψυκτικῆς δυνάμεως, ὅπερ οἱ φῶξαι κελεύοντες ἐπὶ μὲν τοῦ μηκωνείου οὐκ ἀτόπως ποιοῦσιν, ἐπὶ δὲ τοῦ καστορίου παντάπασιν ἀτόπως. αὐτὸ γὰρ καθ’ αὑτὸ πεπτικὴν τῶν δυσλύτων τε καὶ σκιρρωδῶν διαθέσεων ἔχει δύναμιν. αὐτάρκης οὖν ἐστι καὶ ἡ ἐκ τοῦ μηκωνείου κεχρονίσθαι τὸ συντεθὲν ἐξ αὐτῶν πραΰνης, φωγνύμενον γὰρ ἀπόλλυσι τὸ δραστήριον, εἰ δὲ μιχθὲν τῷ καστορίῳ χρονίσειε, μένει μὲν ἔτι καὶ νῦν ἱκανῶς δραστικὸν, ἀμαυροῦται δὲ αὐτοῦ τὸ κακόηθες, διὸ καὶ βλάπτονταί τινες, ὡς ἀχλυῶδες ὁρᾷν ἄχρι πολλῶν ἡμερῶν καὶ καρηβαρεῖν καὶ μὴ καλῶς πέττειν τὰς τροφὰς ποιεῖ, εἰ ποθείη· καὶ διὰ ταύτην αὐτοῦ τὴν κακοήθειαν ἐπὶ τὴν φῶξιν ἀφίκοντο
12.619 πολλοὶ τῶν ἰατρῶν. ἀλλ’ ἐπεὶ πάλιν ἐν τῷ φωχθῆναι τὸ δραστήριον αὐτοῦ ἀμαυροῦσθαι φαίνεται, τούτου γὰρ ἐπειράθην πολλάκις, ἄμεινον ἡγησάμην ἄφωκτον μὲν μιγνύναι, μετὰ χρόνον δὲ χρῆσθαι. ταῦτα μὲν οὖν κατὰ τὸ πάρεργον εἴρηται γιγνώσκεσθαι χρήσιμα· τὸ δὲ προκείμενον ἦν οὐ μικρῶς βλάβην γενέσθαι τοῖς πιστεύουσιν ἀδιορίστοις γραφαῖς φαρμάκων. γέγραπται δὲ καὶ ἄλλοις πολλοῖς τὸν αὐτὸν τρόπον ἐπὶ πολλῶν μορίων τε καὶ παθῶν ἀδιόριστα φάρμακα, μὴ γινώσκουσιν ὅσην ὁ διορισμὸς ἔχει δύναμιν εἰς τέχνης σύστασιν. ἐφ’ ὧν οὖν θαυμάζω τὸ

συγκεχυμένον τε καὶ ἀδιόριστον, ὡς ἐπ᾽ Ἀπολλωνίου τοῦ Ἡροφιλείου, γινώσκοντος τἀνδρὸς ὅτι κελεύει διὰ παντὸς ὁ Ἡρόφιλος τί τε καὶ ποῖον καὶ πηλίκον ἐστὶ τὸ τοῦ νοσήματος αἴτιον καὶ κατὰ τί μάλιστα δυναστεῦον ἐπίστασθαι τὸν ἰατρὸν, ὅπως καὶ τὴν θεραπείαν ἁρμόττουσαν ἑκάστῳ ποιεῖται. ἔτι δὲ μᾶλλον ἐπ᾽ Ἀρχιγένους ἄν τις
12.620 θαυμάσειεν, ἀδιορίστως οὐκ ὀλίγα καὶ αὐτοῦ γράφοντος ἔν τε ταῖς ἄλλαις θεραπείαις καὶ ταῖς τῶν ὠταλγιῶν. ἕνα γὰρ ἔγραψεν αὐτὸς ἐπ᾽ αὐτῶν μόνον διορισμὸν, τὸν ἀπὸ τοῦ μετρίου τε καὶ σφοδροῦ τῆς ὀδύνης, καί σοι παραγράψω τὴν λέξιν ὅλην αὐτοῦ.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα φάρμακα πρὸς ὤτων ἀλγήματα. Ἐν τῷ προτέρῳ τῶν κατὰ γένος φαρμάκων ὁ Ἀρχιγένης ὧδέ πως ἔγραψε κατὰ λέξιν. ἐπὶ δὲ ὠταλγίας τῆς ἄλλης προηγουμένης διαίτης, ἥνπερ καὶ ἐπὶ κεφαλαλγίας ἐτάττομεν. ἐπὶ μὲν τῶν μετρίων τῶν ἁπλῶν μύρων χλιαρῶν ἐνέσταξεν, οἷον κρόκινον ἢ ἴρινον ἢ ῥόδινον ἢ καρύων πικρῶν ἀπόθλιμμα, ἢ τῆς κασσίας τὸ μύρον, ἢ νάρδον ἁπλῆν ἢ Σούσινον ἢ ἀμυγδάλινον, ἢ ῥόδων ἢ ῥοιᾶς ἢ μήκωνος χύλισμα μετ᾽ ἐλαίου θερμοῦ ἢ πράσου σπέρμα λεῖον ἢ ἐλλέβορον λευκὸν λεῖον μετὰ ῥοδίνου χλιαρὸν ἔγχει ἐν ξύστρᾳ. ἢ μηκωνείου ὀλίγον σὺν γάλακτι γυναικείῳ, ἢ μηκωνίου χύλισμα σὺν γάλακτι ὁμοίως. σφοδρυνομένης δὲ ἥ τε κοιλία
12.621 διὰ κλυστῆρος εὐτόνως ὑπαγέσθω καὶ ἀπ᾽ ἀγκῶνος αἷμα ἀφαιρείσθω καὶ ὅσα τοιαῦτα. τοὐντεῦθεν πυριάσθωσαν ἀφεψήματι δάφνης ἢ τοιούτου τινὸς ἢ θείου ἀπύρου ἐμπασσομένῳ τῷ ὕδατι. σφόδρα δὲ ἀποθλιβέσθωσαν οἱ σπόγγοι καὶ τῷ ὠτὶ προστιθέσθωσαν. καὶ γὰρ τὸ ὑγρὸν ῥᾷστα αὐτοὺς περιψύχει, παρ᾽ ὃ καὶ μακρῶς αἱ πυρίαι αὐτοῖς αἱ ξηραὶ ὠφελιμώτεραί εἰσιν, αἵ τε δι᾽ ἁλῶν ἢ κέγχρου ἢ δι᾽ ἀπαλῶν πιλημάτων ἢ διὰ λιπαρῶν ἐκμαγείων. ἢ ἀποζέσας πήγανον βάλε εἰς στενόστομον ἀγγεῖον τὸ ὕδωρ, ἐρίῳ τε ἔμφραξον τὸ στόμα καὶ τῷ ὠτίῳ πρόσφερε, ὥστε διικνεῖσθαι εἰς τὸ οὖς διὰ τοῦ ἐρίου τὴν ἀτμίδα. ἔνιοι δὲ ἐν ὀξυκράτῳ καὶ ὀλίγῳ ἐλαίῳ τὸ πήγανον ἑψήσαντες οὕτως ἐγχέουσι τὸ ὑγρὸν εἰς τὸ ἀγγεῖον καὶ πυριῶσι. μετὰ δὲ τὰς πυρίας διαψήσας τὸ οὖς καὶ ἐγχυματίσας ἢ βαλσάμῳ σὺν ῥοδίνῳ λεανθέντι, ἤ τινι τῶν προειρημένων μύρων χλιαρῷ ἢ ἄλλῳ τινὶ συμφώνῳ πρὸς ὠταλγίαν τῶν αὐτίκα ἀναγραφησομένων κατάπλασσε. ἢ κωδίαν λεπτὴν, ἀλεύρῳ μεμιγμένην

12.622 καὶ ἐν μελικράτῳ ἐψημένην ἢ αὐτῇ τῇ κωδίᾳ λεπτῇ μετὰ κριθίνου ἀλεύρου ἐν οἴνῳ ἐψημένῃ. ἢ βουκέρατι ἐν μελικράτῳ ἐφθῷ ἢ λινοσπέρμῳ ὁμοίως. ἄκρως ποιεῖ σπόγγος ὀφθαλμικὸς μέλιτι ἐφθῷ καὶ ἔτι θερμῷ βρεχόμενος καὶ ἐπιτιθέμενος, ἢ κηρωτὴ ἰρίνου, μιγέντος αὐτῇ στύρακος. ἄκρως ποιεῖ πρὸς ὠταλγίαν ἀλόη μεμιγμένη μετὰ ῥοδίνου καὶ μέλιτος τὸ πάχος ἐγχεομένη, ἢ χαλκῖτις ἐν οἴνῳ διειμένη, ἢ περδικίου χυλὸς χλιαρὸς ἐνσταζόμενος ἰδίᾳ ἢ μετὰ μέλιτος, ἢ νίτρον διεὶς ὀλίγῳ ὕδατι, μίσγε ἔλαιον καὶ χλιαίνων ἔνσταζε. ἢ ἀριστολόχου ῥίζαν μετ᾽ ἐλαίου. ἢ ἐλλέβορον λευκὸν λεάνας σὺν ῥοδίνῳ, χλιαρὸν διὰ ξύστρας ἔνσταζε. καλῶς ποιεῖ ὄπιον ἐπ᾽ ὀστράκου ὀπτηθέν. καὶ καστόριον ὁμοίως, ἴσα λεανθέντα μετὰ ῥοδίνου καὶ γλυκέος, μέχρι μέλιτος σχῇ πάχος, εἶτα μετὰ τὴν πυρίαν περὶ τὴν ὀξεῖαν ἔριον περιειλιχθὲν ἐμβάπτεται καὶ ἐπιτίθεται. ἢ μαράθρου χυλὸν μετά τινος τῶν εἰρημένων μύρων ἐν ἀρχῇ ἔνσταζε. ἢ μετὰ κωδυῶν μήκωνος ἀφέψει καὶ ἔγχει τὸ τοῦ ὄφεως γῆρας, ἢ μετά τινος τῶν εἰρημένων μύρων, ἢ τὸ Σπανὸν γάρος
12.623 θερμαίνων διὰ ξύστρας. ποιεῖ καὶ τὸ δυσῶδες ἄκοπον ἐγχεόμενον χλιαρόν. ἢ μηκώνειον διεθὲν ῥοδίνῳ καὶ ὀλίγον κρόκιον. καὶ παντὸς μᾶλλον ἡ ἱερὰ ἀρωματικὴ μετά τινος τῶν μύρων. ποιεῖ δὲ ἄκρως λευκὸς ἐλλέβορος λεανθεὶς μετὰ μέλιτος καὶ ῥοδίνου ἐγχεόμενος, ἐμφρασσομένου τοῦ πόρου πορφύρας μαλλῷ. καλῶς ποιεῖ καὶ ὁ ἐλλέβορος μετὰ ἰρίνου μύρου. ποιεῖ δὲ καὶ κεδρία σὺν ναρδίνῳ μύρῳ ἐγχεομένη. Σεβῆρος δὲ τοὺς ἐπὶ ταῖς ὑδρίαις ὄνους λείους μετὰ μύρων εἰς τὰ ἡλκωμένα ἐνέχει, ἔνιοι δὲ ψυχρὸν ὕδωρ εἰς τὸ ἀλγοῦν ἐγχέουσιν οὗς, καὶ παραχρῆμα μὲν ὑπεραλγοῦσι, μετὰ βραχὺ δὲ τελέως παύονται. ἄλλοι δὲ κάλλιον ποιοῦντες εἰς τὸ ἕτερον τοῦ ἀλγοῦντος ψυχρὸν ἐγχέουσιν, ὥσπερ Λεύκιος. ποιεῖ καλῶς ἀλόη καὶ κρόκινον μετὰ ἀμυγδαλίνου μύρου ἐγχεόμενα. ἢ χαλκὸς λεῖος μετ᾽ ὄξους καί τινος μύρου. ἄκρως ποιεῖ σίλφιον μετὰ ῥοδίνου ἐὰν ἕλκωσις ᾖ. θαυμαστῶς ὠφελεῖ τὰς ὑπερβαλλούσας ὠταλγίας, πράσου χυλὸς καὶ οὖρον αἴγειον καὶ ῥόδινον μετ᾽ ὀλίγης σμύρνης ἐγχεόμενα. ἢ σκιούρου στέαρ, ἐν ξύστρᾳ χλιαίνων
12.624 ἔνσταζε. ἢ σχιστὴν καὶ ἡδυόσμου χυλὸν μετὰ γλυκέος. ἢ πέπερι λευκὸν καὶ ἄλας ἴσα μεθ᾽ ἑψήματος, ἔγχει ἀριστερᾷ χειρὶ πεντάκις ἢ ἑπτάκις. ἢ κοχλίαν σεσηπότα Ἀφρικανὸν παρακεντήσας, ῥοδίνου πληρώσας καὶ

ζέσας, διὰ ξύστρας ἐγχυμάτιζε θερμοτέρῳ. ἐὰν δὲ ἐκ πληγῆς ἀλγῇ τὸ ἐκτὸς τοῦ ὠτὸς, λιβάνου χόνδρῳ γάλα ἐπιχέας δὶς καὶ ἀποχέας τὸ τρίτον, ἔασον βραχῆναι καὶ κινήσας ἔγχει, εὐθὺς γὰρ παύει. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν ἀδιορίστως πάνυ. δύναιτο δ' ἄν τις νοῦν ἔχων ἀναμνησκόμενος ὧν ἔμπροσθεν εἶπον ἐννοεῖν ὁποῖόν τι τῶν εἰρημένων φαρμάκων ἑκάστῃ τῶν εἰρημένων ὠταλγιῶν ἁρμόττει, μεμνημένος τῆς δυνάμεως αὐτῶν ἐξ ὧν ἔμαθεν ἐν τοῖς περὶ τῆς τῶν ἁπλῶν φαρμάκων δυνάμεως ὑπομνήμασιν. ἐγὼ δὲ ἐπὶ τὰς ὑπ' Ἀνδρομάχου γεγραμμένας ὠτικὰς δυνάμεις ἤδη μεταβήσομαι.

Ὠτικαὶ Ἀνδρομάχου τὸν ἀριθμὸν κδ′. Τέσσαρας ἐπὶ τὰς εἴκοσι δυνάμεις ὠτικὰς, ἐφεξῆς ἀλλήλων ἔγραψεν ὁ Ἀνδρόμαχος, ἐνίαις μὲν προσθείς
12.625 τινα διορισμὸν, ἐνίαις δὲ οὐδένα. καὶ πρώτη γε αὐτῶν ἐστιν οὕτω γεγραμμένη. ὠτικὴ ἐκ τῶν Γάλλου ᾗ χρῶμαι. ♃ σμύρνης ʃ α′. ἁλὸς ʃ δ′. λιβάνου ʃ γ′. ἀφρονίτρου ʃ γ′. κρόκου ʃ δ′. μηκωνείου ʃ γ′. ἀμύγδαλα πικρὰ κ′. χαλβάνης ʃ β′. ὄξους καλοῦ τὸ ἱκανόν. ἀναφέρεται ἡ γραφὴ εἰς Μενέμαχον. πολύχρηστόν τινα ταύτην ὠτικὴν ὁ Ἀνδρόμαχος ἔγραψεν, ἐστοχασμένην πολλῶν ἅμα διαθέσεων ἐν ὠσὶ γινομένων. εἴρηται δέ μοι καὶ πρόσθεν ὡς αἱ τοιαῦται δυνάμεις οὔτε κατορθώματα μεγάλα ποιοῦσιν οὔτε σφάλματα, διὰ παντὸς αὐταῖς χρωμένων ἡμῶν. ὅσαι δὲ πρὸς μίαν διάθεσιν ἁρμόττουσιν, ἐκείνην μὲν ἄριστα θεραπεύουσιν, τὰς δὲ ἄλλας ἐνίοτε πρὸς τῷ μηδὲν ὠφελεῖν ἔτι καὶ παροξύνουσι. δευτέραν ὁ Ἀνδρόμαχος δύναμιν ἔγραψεν ἐφεξῆς τῇ προειρημένῃ τήνδε. ὠτικὴ Αἰλίου Γάλλου πρὸς φλεγμονὴν καὶ ἐπιτεταμένας ἀλγηδόνας. ♃ χαλβάνης ʃ η′. κινναμώμου ʃ β′. σμύρνης ʃ η′. κρόκου ʃ η′. λιβάνου ʃ γ′. ἀφρονίτρου ʃ γ′. ὀποῦ μήκωνος ʃ γ′. ὄξους ὡς μέλιτος ἔχειν πάχος. δεῖ δὲ
12.626 προεκνιτροῦν, ἵνα μὴ λίπος ἔχῃ, εἶθ' οὕτως ἐγχεῖν τὸ φάρμακον. κἀνταῦθα πάλιν ἐκφρακτικά τε καὶ πεπτικὰ καὶ χαλαστικὰ καὶ διαφορητικὰ μέμικται φάρμακα, μὴ δυνάμενα σφοδρὰς ὀδύνας ἰᾶσθαι. διὰ τοῦτο οὖν αὐτοῖς ὁ τοῦ μήκωνος ὀπὸς ἐμίχθη. τρίτην ὠτικὴν ἔγραψε τοιάνδε κατὰ λέξιν. ὠτικὴ Λαοδίκου βασιλέως, ᾗ κέχρημαι συνεχῶς. ♃ καστορίου ʃ β′. ὀποῦ μήκωνος ʃ δ′. ὀποπάνακος ʃ β′. λυκίου ἀφροῦ ʃ α′. γλυκεῖ ἀναλάμβανε καὶ χρῶ χλιαίνων. αὕτη μὲν προφανῶς ἁρμόττει ταῖς ἐπιτεταμέναις ὀδύναις, οὐ μὴν ταῖς γε ἄλλαις διαθέσεσιν. ἐγὼ δὲ, ὡς

ἔφην, ἐφ᾽ ἑκάστῃ τῶν διαθέσεων οἰκείῳ χρῶμαι φαρμάκῳ, φεύγων ἀεὶ τὸν ὀπὸν τοῦ μήκωνος, ἔνθα μή τις ἀνάγκη μεγάλη πρὸς αὐτὸν ἡμᾶς ἔρχεσθαι βιάζεται. τετάρτην ἔγραψε δύναμιν ὠτικὴν ὡδί πως. ἄλλη πρὸς φλεγμονὴν καὶ πυορροῦν καὶ παλαιὰς διαθέσεις. ❡ κυάμων Αἰγυπτίων τοῦ ἐντὸς πικροῦ, στυπτηρίας σχιστῆς, πεπέρεως λευκοῦ, ἀφρονίτρου, κρόκου, ὀπίου, σιδίων, σμύρνης, λιβάνου, νάρδου ἀνὰ ‹ β΄. καστορίου ‹
12.627 α΄. μέλιτος καὶ ὄξους τὸ ἱκανόν. οἱ δὲ μέλιτος ‹ στ΄. ἐν ταύτῃ τὰ ἄλλα φάρμακα διαφορητικὰ καὶ ξηραντικὰ καὶ τῶν ἐμφράξεων ἐκφρακτικὰ καί τινα καὶ τῶν πεπτικῶν, οἷον ἥ τε σμύρνα καὶ ὁ λιβανωτὸς ἔγκειται. στυπτηρία δὲ σχιστὴ στυπτικὸν ἰσχυρῶς φάρμακον ὑπὲρ τοῦ ξηραίνεσθαι τὰ πυορροοῦντα μέμικται. πρόσκειται δὲ καὶ τὸ ὄπιον, ἀνωδυνίας ἕνεκεν. ἀντιτέτακται δὲ αὐτῷ τὸ καστόριον, ὡς ἔμπροσθεν ἔφην. ἀλλ᾽ ἐπὶ τῶν τοιούτων διαθέσεων οὐ μόνον ὡς ἀντιτεταγμένον, ἀλλὰ καὶ ὡς πέττον αὐτὰς καὶ ὡς ξηραῖνον εἰκότως ἐμβάλλεται. πέμπτην ἔγραψεν ὁ Ἀνδρόμαχος ὠτικὴν τήνδε κατὰ λέξιν. ἄλλη ἀπὸ Ξενοκράτους, ᾗ κέχρημαι πολλάκις. ❡ ἀφροῦ λυκίου ‹ β΄. σμύρνης ‹ α΄. λιβάνου ‹ α΄. σχιστῆς τριώβολον, κρόκου τριώβολον, ἀφρονίτρου ὀβολοὺς δύο, λεῖα σὺν ὄξει ἀπόθου, χρῶ σὺν ὄξει. καὶ αὕτη πολύχρηστος μέν ἐστιν, οὐ μὴν ἔνθα πόνος ἰσχυρὸς ἁρμόττει, μήτε ὄπιον ἔχουσα μήτε καστόριον μήτε τῶν ἀνωδύνων τι στεάτων μήτε χαλβάνης. ἕκτη δύναμις ὠτικὴ κατὰ τήνδε τὴν λέξιν γέγραπται. ἄλλη ἀπὸ Πρυτάνιδος συμπεφώνηκε τῇ
12.628 Ἁρπάλου. ❡ σμύρνης τριώβολον, νάρδου τριώβολον, κρόκου τριώβολον, χαλκῆς κεκαυμένης ὀβολοὺς ε΄. ὀπίου ὀβολοὺς δύο, καστορίου τετρώβολον, σχιστῆς ‹ α΄. καὶ στρογγύλου ‹ α΄. σὺν γλυκεῖ, ὅταν ῥεῦμα, ὅταν δὲ ὀδύνη, σὺν ῥοδίνῳ. ὅταν δὲ σκώληκες γεννῶνται, ἐλλεβόρου μέλανος μίσγε ‹ β΄. καλῶς ἐποίησεν ἐπὶ τῇ τελευτῇ τὴν χρῆσιν αὐτῆς εἰπὼν, ἣν ἡμεῖς ἂν εἰρήκειμεν, εἴπερ αὐτὸς αὐτὴν ὤκνησε προσγράψαι. ἑβδόμη παραπλησία τῇ προγεγραμμένῃ γέγραπται κατὰ τόνδε τὸν τρόπον· ἄλλη δίου Γαΐου σύμφωνος. ❡ ἐλλεβόρου μέλανος ὀβολοὺς β΄. σμύρνης ὀβολὸν α΄ ΄΄. ὀπίου τριώβολον, χαλκοῦ κεκαυμένου τετρώβολον, στυπτηρίας σχιστῆς ὀβολοὺς β΄. καστορίου ὀβολὸν α΄. κρόκου τετρώβολον, νάρδου τετρώβολον γλυκεῖ χρῶ. ἔστι δὲ ἡ ὀγδόη παραπλησία ταῖς προγεγραμμέναις. περὶ δὲ τῆς ἑνάτης ὡδί πως αὐτὸς

ἔγραψεν. ἄλλη ᾗ χρῶμαι πρὸς περιωδυνίας καὶ ἤχους. ⳋ νίτρου ‹ α′. σμύρνης ‹ α′. ῥοδίνου κύαθος α′. ὄξους κύαθος εἷς, ὁμοῦ λεάνας χρῶ. οὐ πρὸς τὰς ἐν φλεγμονῇ περιωδυνίας ἁρμόττει τοῦτο τὸ φάρμακον, ἀλλὰ τὰς ἐπ᾽ ἐμφράξει καὶ πνεύματι ψυχρῷ καὶ ἀτμώδει καὶ χυμῷ
12.629 παραπλησίως. δεκάτην ἄλλην ἔγραψεν ὡδί πως. πρὸς ὦτα πυορροοῦντα παρὰ Ἀρποκρατίωνος. ⳋ κυτίων, σιδίων, ἀριστολοχίας, χαλκίτεως, μίσυος κυπρίου, κηκίδος, λεπίδος χαλκοῦ, ἀνὰ ‹ α′. σμύρνης, λιβάνου ἀνὰ τριώβολον, χαλκάνθης ὀπτῆς, στυπτηρίας σχιστῆς ἀνὰ τριώβολον, σὺν γλυκεῖ τροχίσκους ποιῶν χρῶ. εἰ δὲ καὶ μὴ προσέγραψεν αὐτὸς ἐν ἀρχῇ τὴν ἐπαγγελίαν τοῦ φαρμάκου, προχειρότατον ἦν ἡμῖν νοῆσαι, μεμνημένοις ὧν ἐν ἀρχῇ προεῖπον, ὅτι ξηραντικόν ἐστι τὸ φάρμακον ὠτων πυορροούντων. ὅπερ γίνεται καταφερομένου τινὸς ἐκ τῆς κεφαλῆς ῥεύματος, ἐφ᾽ ᾧ καὶ τὰς ἑλκώσεις χρονίζοντι συμβαινούσας ὁρῶμεν. ἑνδεκάτην ὠτικὴν ἔγραψεν οὕτως. ὠτικὴ ἐν πολλοῖς σύμφωνος. ⳋ κρόκου ‹ α′. σμύρνης ‹ α′. καστορίου ‹ β′. σχιστῆς ‹ δ′. λιβάνου ‹ α′. σὺν γλυκεῖ μέλιτος πάχος ποιῶν, εἶθ᾽ οὕτως ἀνιεὶς χρῶ. καὶ αὕτη τῶν μετρίων διαθέσεών ἐστιν ἰατικὴ, καθάπερ καὶ ἡ ἐφεξῆς αὐτῇ γεγραμμένη, τὰς δὲ ἐφεξῆς ταύτῃ προγεγραμμένας δυνάμεις ὠτικὰς ὑπὸ
12.630 τοῦ Ἀνδρομάχου χωρὶς τῆς ἐμῆς ἐξηγήσεως παραγράψω, γνωρίζειν αὐτὰς ἤδη δυναμένων ὅσοι μέμνηνται τῶν προειρημένων. ἐφ᾽ ὧν δὲ καὶ αὐτὸς πεποίηται μετὰ διορισμοῦ τὴν γραφὴν, οὐδὲν ἔτι τούτων οὐδεμία τῆς ἡμετέρας ἐξηγήσεως χρῄζει. ἐφεξῆς οὖν ἅπασαι γεγράψονται, χάριν τοῦ μηκέτι μνημονεύειν ἡμᾶς ἄλλης ὠτικῆς δυνάμεως ὑφ᾽ ἑτέρου τῶν ἰατρῶν γεγραμμένης, ἐνταῦθα γὰρ ἡ ποικιλία πασῶν αὐτῶν περιέχεται. ὠτικὴ ὡς Σόλων διαιτητής. ⳋ σμύρνης ‹ δ′. σχιστῆς ‹ δ′. καστορίου ‹ β′. λιβάνου ‹ α′. κρόκου ‹ α′. ὀπίου ‹ α′. Κρητικῷ ἢ οἰνομέλιτι πάχος μέλιτος. ὠτικὴ Ἀντιπάτρου πρὸς περιωδυνίας. ⳋ κρόκου γο β′. οἱ δὲ γο α′. σμύρνης γο α′. ἁλὸς ἀμμωνιακοῦ γο α′. σχιστῆς, ἀμμωνιακοῦ θυμιάματος ἀνὰ γο ′′. μύρου ἰρίνου ἢ Συριακοῦ ὑποστάθμης γο β′. σὺν οἰνομέλιτι ἢ Κρητικῷ ποιῶν μέλιτος πάχος λεπτοῦ χρῶ. ὠτικὴ ἄλλη λίαν καλή. ⳋ ὀποπάνακος ‹ β′. ὀποῦ μήκωνος ‹ δ′. ἀφροῦ λυκίου ‹ δ′.
12.631 καστορίου ‹ β′. σχιστῆς τριώβολον, κρόκου τριώβολον, σμύρνης ‹ α′. ἡ χρῆσις σὺν γάλακτι γυναικείῳ. πρὸς ὦτα πυορροοῦντα παρὰ Σπενδούσης.

Ⲋ χοίρου ἐκτομίου χολῆς μέρη β′. μέλιτος Ἀττικοῦ μέρος α′. ὁμοῦ ἐν ὑελίνῳ ἀγγείῳ ἐπὶ θερμοσποδιᾶς θέρμαινε ἄχρι τοῦ ἡμίσεως καὶ οὕτω χρῶ. ὠτικὴ παρὰ Ἁρποκράτους πρὸς διαθέσεις καὶ ὀδύνας. Ⲋ ναρδοστάχυος ⸂ στ′. σμύρνης ⸂ στ′. πεπέρεως ⸂ στ′. ἀφρονίτρου ⸂ στ′. ἁλὸς ἄνθους ⸂ στ′. κρόκου ⸂ ζ′. κάρυα πικρὰ ι′. ὀποῦ μήκωνος ⸂ ιβ′. οἴνου παλαιοῦ τὸ ἱκανὸν, ἔγχει κασσιτερίνῳ ἀγγείῳ τὸ φάρμακον. πρὸς δυσηκοΐαν καὶ ἦχους. Ⲋ ἐλλεβόρου λευκοῦ ⸂ α′. καστορίου ὀβολὸν α′. ἀφρονίτρου ὀβολὸν α′ ′′. χρῶ μετ᾽ ὄξους ὡς καλλίστῳ. στρουθίου ⸂ α′. κρόκου Κιλικίου ⸂ α′. καστορίου ⸂ α′. ἐλλεβόρου λευκοῦ ⸂ δ′. νίτρου ⸂ α′. τροχίσκους ποιῶν ἐπὶ τῆς χρήσεως ἀνιεὶς οἴνῳ χρῶ. πρὸς ὦτα πυορροοῦντα. στυπτηρίαν ἐκκεκαυμένην καὶ σμύρναν μετὰ μέλιτος λεάνας, προεκκλύσας τὸ ὠτίον ἐρίῳ τὸ φάρμακον ἐπιτίθει. ὠτικὴ παρὰ
12.632 Χρυσάνθου Γρατιανοῦ πρὸς φλεγμονὰς καὶ ἑλκώσεις. σίλφας χωρὶς πτερῶν δεκαδύο, οἴνου παλαιοῦ καὶ μέλιτος γο στ . ῥοιᾶς κέλυφον α . πράσου χυλοῦ κύαθον α . ἐν χύτρᾳ καινῇ ἕψε, ἕως τακερωθῇ ἡ ῥοιὰ, εἶτα λέαινε καὶ πρόσβαλε μύρου Συριακοῦ γο α . πίσσης ὑγρᾶς γο α . κρομμύων δ . τὸν χυλὸν ἐκθλίψας καὶ συλλεάνας ἀπόθου, ἐπὶ δὲ τῆς χρείας χλιάνας σὺν ἐρίῳ ἐπιτίθει. ὠτικὴ πρὸς φλεγμονὰς καὶ πυρροοῦντας. νάρδου Ἰνδικῆς α . στυπτηρίας σχιστῆς β . ὀπίου δ . σιδίων δ . κρόκου γ . σμύρνης δ . λιβάνου δ . μέλιτος Ἀττικοῦ δ . ἀφρονίτρου δ . καστορίου β . ἀμυγδάλων πικρῶν η . πεπέρεως λευκοῦ κόκκους λ . ὄξους κύαθον α . οὔρου συάγρου τὸ ἴσον, κυάμων Αἰγυπτίων χλωρῶν τοῦ ἐντὸς δ . λεάνας ὁμοῦ ἀπόθου εἰς κασσιτέρινον ἀγγεῖον, ἐπὶ δὲ τῆς χρήσεως μετὰ ῥοδίνου ἔνσταζε καὶ κροκίδα ἐντίθει πορφυρᾶν. ὠτικὴ πρὸς τὰ ἀπεγνωσμένα, ὡς Ζωΐλος ὁ ὀφθαλμικός. ὑοσκυάμου σπέρματος τριώβολον, στυπτηρίας σχιστῆς
12.633 ὀβολοῦ τὸ . σμύρνης α . καστορίου τριώβολον, μηκωνείου τριώβολον, κηκίδος τριώβολον, κρόκου τετρώβολον, κινναμώμου τετρώβολον, λιβάνου ὀβολοὺς β′. ἀφρονίτρου ὀβολοὺς δύο, σανδαράχης ὀβολοὺς β′. ὀπίου προσφάτου κοχλιάρια τρία, οὔρου συάγρου ἄρρενος κοχλιάρια τρία, κογχυλίου αἵματος τριώβολον, μανδραγόρου χυλοῦ ὀβολὸν α′. μέλιτος Ἀττικοῦ τὸ ἱκανὸν, κογχυλίῳ ἔμφρασσε τὸ οὖς. ὠτικὴ ἄλλη πρὸς φλεγμονὰς καὶ πυορροοῦντα θαυμαστή. Ⲋ πηγάνου

τριώβολον, σμύρνης τριώβολον, δαφνίδων ἀληλεσμένων τριώβολον, ὑοσκυάμου χυλοῦ ⸉ α΄. ὀπίου ⸉ α΄. κρόκου ⸉ α΄. σὺν γάλακτι γυναικείῳ χρῶ, ἐγχυματίζων χλιαρόν. ὠτικὴ λίαν καλὴ καὶ δεδοκιμασμένη ἐκ τῶν Ἀπολλωνίου. ⸗ σμύρνης ⸉ β΄. λιβανωτοῦ ⸉ β΄. καρύων πικρῶν ⸉ α΄. ἀφρονίτρου ⸉ β΄. σχιστῆς ⸉ α΄. σιδίων ⸉ α΄. ναρδοστάχυος ⸉ β΄. ἀλόης ⸉ γ΄. οἰνομέλιτος παλαιοῦ κυάθους γ΄. τὰ ξηρὰ λεῖα μίσγε τῷ οἰνομέλιτι καὶ ἑψήσας, ἀπόθου εἰς ἀγγεῖον κασσιτέρινον, ἐπὶ δὲ τῆς χρείας χλιαρῷ χρῶ.

Αἱ ὑπὸ Ἀσκληπιάδου γεγραμμέναι δυνάμεις ὠτικαὶ ἐν τῷ πρώτῳ τῶν
12.634 ἐκτός. Ὠτικὴ πρὸς τὰς προσφάτους περιωδυνίας, αἷς ἐχρήσατο Νικήρατος, κάλλιστον τοῦτό ἐστιν. ὀνίσκον τῶν κατοικιδίων. ζῶον δέ ἐστιν πολύπουν ἐν τοῖς ὑδρηροῖς ἀγγείοις καὶ ἐν ταῖς κοπρίαις γεννώμενον, κατὰ δὲ τὰς τῶν δακτύλων ἐπαιρήσεις σφαιρούμενον. τούτων λαβὼν τρεῖς ἢ τέτταρας καὶ σὺν ἐλαίῳ ἀποζέσας καὶ τὸ ἔλαιον ἀποθλίψας ἐγχυμάτιζε. ποιεῖ δὲ καὶ ὁ κολοκύνθης χυλὸς, μετὰ ῥοδίνου ἢ ναρδίνου μιγνύμενος καὶ χλιαινόμενος. καὶ περδικίου βοτάνης χυλὸς μετὰ ἐλαίου ἑψόμενος. καὶ κενταυρίου χυλὸς μελικράτῳ διαλυθεὶς, καὶ ὑοσκυάμου χυλὸς ῥοδίνῳ μιγνύμενος. ποιεῖ καὶ ὀποῦ μήκωνος ὀλίγον, γάλακτι γυναικείῳ διαλυθέν. καὶ βοείων κρεῶν οἱ ἀπορρέοντες ἰχῶρες ὅτε ὀπτᾶται, ταῦτα δεῖ ὠμὰ πρόσφατα ἐπιτιθέναι ἀνθρακιαῖς καὶ ἔνωμα ὄντα ἐκθλίβειν καὶ τῷ ἐκθλιβομένῳ θερμῷ ὑγρῷ ἐγχυματίζειν. ποιεῖ δὲ καὶ καρύων σεσηπότων τοῦ ἐντὸς τὸ ὑγρὸν, ὄξει διαλυθὲν καὶ ῥοδίνῳ. ποιεῖ δὲ καὶ ὁ Λιβυκὸς κοχλίας, ἀποσβεννύμενος ἐν τῷ οἰκείῳ ὀστράκῳ μετὰ ἐλαίου ναρδίνου ἢ ῥοδίνου. ποιεῖ δὲ καὶ ὑὸς ἀτόκου χολὴ,
12.635 ἰσοστάθμῳ μέλιτι Ἀττικῷ μιγνυμένη. ἄλλο. ⸗ ὀποῦ μήκωνος, καστορίου, ἀνὰ ὀβολοὺς β΄. γλυκεῖ διαλύσας καὶ ὀλίγον ῥοδίνου ἐπιβαλὼν χλιαίνων ἐγχυμάτιζε. ἄλλο. ⸗ ὀποῦ μήκωνος καὶ ὀποῦ πευκεδάνου τὸ ἴσον, διαλύων ἐγχυμάτιζε.

Πρὸς τὰς μεθ᾽ ἑλκώσεως φλεγμονὰς Χαριξένου. ⸗ σμύρνης, ὀπίου, καστορίου τὸ ἴσον γλυκεῖ διαλύσας, χλιαίνων ἐγχυμάτιζε. ἄλλο. ⸗ ὑοσκυάμου χυλοῦ, ὀποῦ μήκωνος, σμύρνης, καστορίου, ἀνὰ ⸉ δ΄. πεπέρεως ⸉ α΄. προτρόπου τὸ ἱκανόν. πρὸς ξηρὰς καὶ ἀνίκμους ἑλκώσεις. ἔστι δὲ καὶ πεσσὸς ἀγαθός. ⸗ οἰσύπου ⸉ δ΄. μυελοῦ ἐλαφείου ⸉ δ΄.

βουτύρου ⟨ δ′. στέατος χηνείου ⟨ δ′. κηροῦ Τυρρηνικοῦ ⟨ δ′. τερμινθίνης ⟨ α′. ἐλαίου κικίνου κυάθους β′. ἐλαίου ἀμυγδαλίνου κυάθους β′. ἐλαίου κυπρίνου κυάθους δύο, πισσελαίου κύαθον α′. συντίθει καὶ χρῶ ἐξανιεὶς ὅσον ἐξαρκεῖ ἐλαίῳ ναρδίνῳ μίσγε, ὥστε μέλιτος ἔχειν πάχος. σφόδρα καλὸν καὶ πρὸς τὰς τῶν νεύρων διαθέσεις. ⁊ ἐλαίου κυπρίνου κυάθους β′. ἰρίνου, ῥοδίνου, ἀμυγδαλίνου, ἐλαίου παλαιοῦ ἀνὰ κυάθους β′.
12.636 πισσελαίου κύαθον α′. κηροῦ γο β′. τερμινθίνης γο α′. στέατος χηνείου γο α′. συντίθει καὶ χρῶ. ἄλλο πρὸς τὰς ἐν βάθει ἀποστάσεις, Ἀντωνίου Μούσα. ⁊ κρόκου ⟨ β′. σμύρνης ⟨ β′. βδελλίου ⟨ δ′. καρύων πικρῶν ⟨ η′. πρασίου χυλοῦ κοτύλης τὸ ἥμισυ, προτρόπου κοτύλης τὸ ἥμισυ, ἔψε τὰ ὑγρὰ καὶ τοῖς λοιποῖς ἐπιβαλὼν ἀνελόμενος χρῶ γλυκεῖ διαλύων ὅσον ἐξαρκεῖ. ἄλλο. ⁊ κρόκου, σμύρνης, καστορίου, κενταυρίου ἀνὰ ⟨ β′. ἀφρονίτρου ⟨ α′. ἀμυγδάλων πικρῶν κεκαθαρμένων ⟨ η′. ἐλξίνης χυλοῦ α′ ′′. προτρόπου α′ ′′. συντίθει καὶ χρῶ καθὰ προείρηται. πρὸς τὰς σὺν ῥεύματι φλεγμονὰς, ᾧ ἐχρήσατο Κλέων. ⁊ σμύρνης, ἀλόης, λιβάνου, ὀποῦ μήκωνος ἀνὰ ⟨ β′. μίσυος ὠμοῦ ⟨ α′. ὄξει ἀναλάμβανε, ἐν δὲ τῇ χρήσει γλυκεῖ διαλύων ἐγχυμάτιζε. ἄλλο. Ἀρείου Ταρσέως. ⁊ σμύρνης ⟨ δ′. λιβάνου ⟨ δ′. μίσυος ὠμοῦ ⟨ β′. λυκίου Ἰνδικοῦ ⟨ δ′. ἀναλάμβανε ὄξει. ἡ χρῆσις ὡς δεδήλωται. πολλοῦ δὲ ῥεύματος ἐπιγινομένου, χρηστέον ταῖς ὑπογεγραμμέναις σκευασίαις. ⁊ κρόκου, λιβάνου, σμύρνης, ὀπίου, λύγου
12.637 σπέρματος ἀνὰ ⟨ α′. λυκίου Ἰνδικοῦ, κυτίνων ῥοιᾶς, ῥόδων ἄνθους ἀνὰ ⟨ β′. ὄξους κοτύτην α′. ἔψε λύγου σπέρμα, κυτίνους, ῥόδων ἄνθος εἰς τὸ ὄξος ἐμβαλὼν καὶ ὅταν διαλυθῇ, ἐπίβαλλε τοῖς λοιποῖς καὶ ἀνελόμενος ἀπόθου. ἐν δὲ τῇ χρήσει γλυκεῖ διαλύσας ἐγχυμάτιζε. πρὸς τὰ πυορροοῦντα ὦτα μετ᾽ ὀδύνης ᾧ ἐχρήσατο Κίμων. ⁊ καστορίου ⟨ β′. σχιστῆς, κρόκου, σμύρνης, λιβανωτοῦ ἀνὰ ⟨ α′. γλυκεῖ ἀναλάμβανε ἢ μυρτίνῃ καὶ χρῶ, ἐπὶ μὲν τῶν προσφάτων μετ᾽ οἰνομέλιτος, ἐπὶ δὲ κεχρονισμένων μετ᾽ ὄξους. Κλαυδίου Δαμονίκου πρὸς πυορροοῦντα καὶ χρονίας διαθέσεις. ⁊ κρόκου ⟨ γ′. σμύρνης ⟨ α′. κάρυα πικρὰ κεκαθαρμένα ἀριθμῷ λ′. νίτρου ἀφροῦ, νάρδου Συριακῆς, στυπτηρίας σχιστῆς ἀνὰ ⟨ α′. λιβάνου τριώβολον, ὄξει δριμυτάτῳ ἀναλαμβάνεται καὶ δι᾽ ὄξους ἀνίεται. πρὸς δυσωδίαν καὶ νομὴν ἡ τῶν Ἱσπανῶν λεγομένη. γάρου μέλανος ῥωμαϊστὶ λεγομένου ὀξυπόρου α . ὄξους σκιλλητικοῦ

α . μέλιτος Ἀττικοῦ α . ἔψε μέχρι συστάσεως καὶ ἀνελόμενος εἰς ἀγγεῖον ὑέλινον χρῶ. ἐν ἄλλαις γραφαῖς ἔχει οὕτω. κολοκύνθης χυλοῦ
12.638 α . συντίθει, ποιεῖ πρὸς τὰς μετὰ φλεγμονῆς δυσωδίας. Χαριξένου πρὸς φθοράς καὶ δυσωδίας. ⳨ στυπτηρίας Μιλησίας λίτραν α′. χαλκάνθου λίτρας η′. ἀλόης ⸉ η′. κροκομάγματος ⸉ η′. σμύρνης ⸉ η′. οἴνου μυρτίνου γ′. ἔψε στυπτηρίαν καὶ τὸν γλυκὺν, καὶ ὅταν συστῇ ἐπίβαλε τὰ λοιπὰ ὄξει διαλύσας καὶ ἀνελόμενος χρῶ. πρὸς τὰς τῶν σαρκῶν ἐπαναστάσεις, ᾧ ἐχρήσατο Ἡρακλείδης ὁ Ταραντῖνος. ⳨ ἰοῦ ξυστοῦ ⸉ η′. λεπίδος χαλκοῦ ⸉ η′. ἐν ἄλλῳ ⸉ δ′. μέλιτος κοτύλης ′′. τὰ ξηρὰ τρίψας καὶ μέλιτι ἀναλαβὼν ἕως ἐρυθρὸν γενέσθαι καὶ ἀνελόμενος χρῶ. ἄλλο. ⳨ ἰοῦ ⸉ δ′. χαλκάνθου ⸉ δ′. σμύρνης ⸉ δ′. πρασίου χυλοῦ κυάθους γ′. μέλιτος τὸ ἱκανὸν, σκεύαζε καθὰ προείρηται. Χαλκηδονία πρὸς τὰς κεχρονισμένας διαθέσεις. ⳨ ἐλλεβόρου λευκοῦ ⸉ δ′. κρόκου ⸉ δ′. σμύρνης ⸉ δ′. καστορίου ⸉ δ′. λιβανωτοῦ ⸉ δ′. ὀπίου ⸉ δ′. χαλκάνθου ⸉ ιστ′. πεπέρεως ⸉ β′. σμύρναν, ὄπιον λιβανωτὸν, καστόριον, ἔμβρεχε ὄξει ἐναφεψημένων σιδίων μέχρι διαλύσεως, εἶτα ἔμβαλε κεκομμένα, ἐλλέβορον, κρόκον,
12.639 πέπερι, χάλκανθον, εἶτα τρῖβε ὁμοῦ πάντα ἐπιμελῶς, καὶ ὅταν εὖ ἔχῃ, ἐπίβαλε οἰνομέλιτος τὸ αὔταρκες, ὥστε τὸ πάχος ἔχειν μέλιτος ἀνιεμένου. ἐπὶ δὲ τῆς χρήσεως χλιαίνων ἐγχυμάτιζε. τούτῳ τῷ φαρμάκῳ χρώμενος πολλάκις κατώρθωσα καὶ προκόπτοντος τοῦ χρόνου προσέθηκα τῇ γραφῇ ὀμφακίνου ⸉ α′. Αἰγυπτία πρὸς τὰς αὐτὰς διαθέσεις, κᾆν ὦσι συγγεγενημέναι. ⳨ ἀμυγδάλων πικρῶν κεκαθαρμένων ⸉ β′. κυάμων Αἰγυπτίων τοῦ ἐντὸς, πεπέρεως λευκοῦ, κρόκου, σμύρνης, ὀπίου ἀνὰ ⸉ β′. λιβανωτοῦ ⸉ β′. ὀμφακίου ⸉ δ′. σχιστῆς ⸉ δ′. καστορίου ⸉ β′. χαλκάνθου ⸉ δ′. ἀφρονίτρου ⸉ β′. ἀναλάμβανε ὄξει ἐναφεψημένων σιδίων, ὡς γλοιοῦ ἔχειν τὸ πάχος. ἐπὶ δὲ τῆς χρήσεως, αὔταρκες λαβὼν τοῦ φαρμάκου καὶ μύρῳ ναρδίνῳ διαλύσας ἐγχυμάτιζε. πρὸς τὰς ἐκ τῶν ὤτων αἱμορραγίας Ἡρακλείδου Ταραντίνου, ὥστε μὴ θρομβοῦσθαι. πρασίου τὸν χυλὸν ἑψήσας καὶ ὄξος μίξας ἐγχυμάτιζε. ἢ ῥοιᾶς ἐν ὄξει ἑψημένης τὸν χυλὸν ἐκθλίψας ἐγχυμάτιζε. ἢ πολυγόνου χυλὸν ἐν ὄξει
12.640 βραχεῖ ἢ ἀκακίαν ἢ ἀμόργην ἢ λύκιον μετ’ ὄξους. ἄλλο Βότρυος, ἐφεκτικὸν αἱμορραγίας. βάτου χυλὸν καὶ κυκίδων ἐν ὄξει ἑψημένων τὸν χυλὸν ὁμοῦ μίξας ἐγχυμάτιζε.

Τὰ ὑπ᾽ Ἀρχιγένους γεγραμμένα φάρμακα τῶν προγεγραμμένων ἐφεξῆς. Ὅσα μὲν πρὸς τὰς ὠταλγίας ἔγραψεν ὁ Ἀρχιγένης φάρμακα, πρόσθεν εἴρηται. νυνὶ δὲ προσθήσω καὶ τὰ πρὸς τὰς ἄλλας διαθέσεις ὑπ᾽ αὐτοῦ γεγραμμένα. ἐπὶ δὲ τῶν ὑγραινομένων πολυγόνου χυλὸν μετὰ ἴσου ῥόδων χυλοῦ ἐγχυμάτιζε. ἢ κρόκον καὶ σμύρναν μετὰ γλυκέος καὶ ῥοδίνου χλιάνας ἔγχει. ἐπὶ δὲ τῶν πυορροούντων ποιεῖ μὲν καὶ πολύγονον σὺν ῥοδίνῳ ἐγχεόμενον, συμφωνεῖ δὲ ἄκρως οἶνος ἐνσταζόμενος, ἐναφεψημένων αὐτῷ κονύζης τῆς λεπτοφύλλου φύλλων. ἔνιοι δὲ καὶ λίβανον προσμίσγουσι τῷ οἴνῳ. ἢ λύκιον ῥοδίνῳ διεὶς ἔνσταζε. ἢ πρασίου ἀγρίου σπέρμα σὺν ὄξει καὶ ῥοδίνῳ ὁμοίως. ἢ κυμίνου καὶ κρόκου ἴσον σὺν οἴνῳ αὐστηρῷ· ἢ κρόκου καὶ σμύρνης ἀνὰ ‹ β΄.

12.641 κάρυα λεπτὰ λελεπισμένα λεάνας μῖξον μετὰ μέλιτος κο ΄΄. καὶ πράσον χυλοῦ κο ΄΄. λεάνας τὰ ξηρὰ εὖ μάλα καὶ διεὶς τοῖς ὑγροῖς συλλεαίνων ἔνσταζε.

Περὶ ἡλκωμένων ὤτων. Ἐπὶ δὲ τῶν ἡλκωμένων ὤτων καὶ αἱμασσομένων καὶ ἀλγούντων χαλβάνην καὶ ὄπιον μετὰ γλυκέος καὶ ῥοδίνου μέλιτος πάχος ἔνσταζε. ἢ ἀντὶ τῆς χαλβάνης ὀπὸν πευκεδάνου μίσγε, καὶ μᾶλλον ποιεῖ. ἢ σπόδιον ὀπτηθὲν λεῖον μετὰ ῥοδίνου ἔγχει. ἢ λύκιον μετὰ γυναικείου γάλακτος μεγάλως ἐνεργεῖ. καὶ τὸ μέλι καθ᾽ ἑαυτὸ χλιαρὸν ἐγχεόμενον, μάλιστα δὲ ἐφ᾽ ὧν καὶ δυσωδίαι εἰσίν. ἔνιοι δὲ τοὺς ἐπὶ ταῖς ὑδρίαις ὄνους μετά τινος μύρου ἐνστάζουσι, καὶ ἄκρως ὠφελεῖ. ἢ τὰς κατοικιδίους σίλφας, μετὰ ῥοδίνου ἔνσταζε. καλῶς ποιεῖ πρὸς πᾶσαν ὠτὸς διάθεσιν ἀλώπεκος στέαρ τεταριχευμένον, τηκόμενον καὶ ἐνσταζόμενον. ἢ σπονδυλίου τὸ ἐντὸς σὺν μέλιτι καὶ ῥοδίνῳ ἔγχει, ἢ κλύσας καὶ διαψήσας τὸ οὖς, πράσου ἢ πρασίου χυλὸν μετὰ μέλιτος ἔγχει. ἢ κονίαν τὴν τῶν πηλοποιῶν μετὰ μέλιτος ἀνεζεσμένην, ἢ λίβανον μετὰ

12.642 ὄξους ἐν ῥοιᾶς κελύφει ζέσας ἔγχει. ἢ κρόκον καὶ σχιστὴν μετ᾽ οἰνομέλιτος ὁμοίως ἐν τῷ κελύφει ζέσας ἔγχει. ἢ κηκίδα λείαν ὀθονίῳ ἐνδήσας ἕψε ἐν οἴνῳ καὶ ἐκ τούτου ἔνσταζε, εὐθέως ἀπόνους ποιεῖ.

Περὶ σκωλήκων ἐν ὠσίν. Ἐφ᾽ ὧν δὲ σκώληκές εἰσιν, ἐλλέβορον λευκὸν μετὰ μέλιτος κάθιε ἢ ξηρὸν ἐμφύσα ἢ χυλὸν βάτου ἔγχει. εἰ δὲ

λελεπισμένον τὸ τοῦ ὠτὸς ὀστέον τύχῃ, διελὼν ὄπισθεν τοῦ ὠτὸς ξύσον, ἔπειτα καύσας ἀπούλου ἀλύπως.

Περὶ τῶν ἐν τοῖς ὠσὶν ἤχων. Ἔνιοι μὲν αὐτῶν φυσώδους πνεύματός εἰσιν ἔκγονοι, τινὲς δὲ διὰ τὴν ἀκρίβειαν τῆς ἀκουστικῆς αἰσθήσεως γίνονται, καθάπερ ἐν ὀφθαλμοῖς τὰ τῶν ὑποχεομένων φαντάσματα διὰ τὰς ἀπὸ τοῦ τῆς γαστρὸς στόματος ἀναθυμιάσεις, ἀκριβὲς δὲ οὐδετέρας τῶν διαθέσεων γνώρισμα δυνατὸν ἐν ἀρχῇ σχεῖν, οὐ μὴν οὐδὲ ἀτέχνως προσήκει ἄρχεσθαι τῆς τε διαγνώσεως αὐτῶν καὶ τῆς ἰάσεως. εἴρηται γὰρ καὶ δέδεικται πολλάκις οὐχ ἕν τι γένος ὂν ἐλπίδος στοχαστικῆς. εἶναι γὰρ
12.643 τεχνικὸν στοχασμόν τινα ἐκ τῶν προκαταρκτικῶν ὀνομαζομένων αἰτίων, ὅταν ἐπίστηταί τις αὐτῶν τὰς δυνάμεις, ἄλλης μὲν ἐπὶ ψύξει διαθέσεως γινομένης, ἄλλης δὲ ἐπ᾽ ἐγκαύσει, καθάπερ γε καὶ πληγῆς προηγησαμένης ἢ νόσου τοίας ἢ τοίας, ὥσπερ γε καὶ ἀπεψίας ἢ οἰνοποσίας δαψιλοῦς ἢ ἐμέτων βιαίων τε καὶ πολλῶν. ἔσθ᾽ ὅτε καὶ ἐπὶ φαρμάκων ὠτικῶν χρήσει γίνονταί τινες ἦχοι. καὶ τὸ κατὰ βραχὺ δὲ συστῆναι τὸν ἦχον ἢ ἀθρόως γενέσθαι συντελεῖται πρὸς τὴν τῆς διαθέσεως εὕρεσιν. ἔτι τε τὸ διαλείμματα ποιεῖν ἢ παραμένειν τὸ σύμπτωμα διηνεκῶς. ἀκριβὴς δὲ διάγνωσις ἐν τῷ χρόνῳ γίγνεται μετὰ τὴν τῶν τεχνικῶς στοχασθέντων χρῆσιν φαρμάκων. εἰ μὲν οὖν ἐπὶ πυρετοῖς ἦχοι γίνονται, μὴ παρενοχλεῖν, παύονται γὰρ παραυτίκα ὡς ἐπὶ τὸ πολύ. ἐὰν δὲ ὑπονοήσας τις ἐπὶ πνεύματι φυσώδει διέξοδον οὐκ ἔχοντι γίνεσθαι τοὺς ἤχους τὰ τέμνοντα καὶ λεπτύνοντα καὶ διαφοροῦντα φάρμακα προσφέρων ἀνύῃ μηθὲν, ἅμα τῷ δηλονότι καὶ
12.644 ἀποφλεγματισμοῖς χρῆσθαι καὶ τῇ τῆς ὅλης κεφαλῆς προνοίᾳ, πολλὴν ἕξει ῥοπὴν εἰς ὑπόνοιαν εὐαισθησίας ἀκριβοῦς, καὶ μάλιστα ἐὰν ὀξυήκους ὁ πάσχων φαίνηται. τοιούτῳ γοῦν τινι περιπεσὼν ἐγὼ, κεχρημένῳ φαρμάκοις οἷς εἶπον, οὐδὲν δὲ ὠφελουμένῳ, προσέμιξά τι τῶν ναρκούντων τὴν αἴσθησιν, ὁποῖόν ἐστιν ὅ τε τοῦ μανδραγόρου χυλὸς καὶ ὁ τοῦ μήκωνος ὀπός· ὅπερ ἀπήλλαξε τοῦ συμπτώματος αὐτόν. αἱ δὴ οὖν ὑπὸ τῶν ἔμπροσθεν ἰατρῶν ὠτικαὶ δυνάμεις, πρὸς τὰ τοιαῦτα συμπτώματα γεγραμμέναι, διαφορητικῶν καὶ τμητικῶν φαρμάκων εἰσίν. ἔμπροσθεν μὲν οὖν ἐν τῷ καταλόγῳ τῶν ὠτικῶν δυνάμεων, ἃς ἔγραψεν Ἀνδρόμαχος, ἦσαν ὑπ᾽ αὐτοῦ τινες λεγόμεναι πρὸς ἤχους ἁρμόττειν ἐκ

τῆς τοιαύτης ὕλης συγκείμεναι. νυνὶ δὲ προσθήσω τὰς ὑπ᾽ Ἀρχιγένους γεγραμμένας.

Αἱ ὑπ᾽ Ἀρχιγένους γεγραμμέναι δυνάμεις πρὸς ἤχους Ἐπὶ δὲ τῶν ἐξαίφνης ἤχων ὄξος μετὰ ῥοδίνου ἔγχεε, ἢ κύμινον καὶ ἔλαιον, μέλιτος
12.645 πάχος ποιῶν, ἢ σικύου ἀγρίου ῥίζης χυλὸν, ἢ αὐτὴν ἕψε τὴν ῥίζαν τῷ ἐλαίῳ. εἰ δὲ ἐπιμένοι πλείονα χρόνον, πᾶσι τοῖς πικροῖς καὶ δριμέσι καὶ λεπτυντικοῖς καὶ διαφορητικοῖς, τοῖς ἀναγραφεῖσιν ἐπὶ τῶν διὰ πάχος χυμῶν ὀδυνωμένων, ἕκαστον ἕψων σὺν ὄξει καὶ μέλιτι, προσπλέκων ἢ κατακλίνας τὸν πάσχοντα καὶ νίτρον ὠμὸν λεῖον ἐμπάσας εἰς τὸ οὖς, ὄξος δριμὺ χλιαρὸν ἔγχει. εἶτα ἐπειδὰν παύσηται ζέον, ἐρίῳ ἐψήσας καρύων πικρῶν χυλὸν ἔγχει καὶ ἀπόφραττε ἐρίῳ. ἢ νίτρον καὶ σμύρναν εὖ ἑνώσας μετὰ ῥοδίνου καὶ ὄξους καὶ μέλανος γραφικοῦ παχέος ἔνσταζε. ἢ πτερῷ βάπτων δὶς τῆς ἡμέρας ἐπιτίθει, ἢ καστορίῳ καὶ ναρδίνῳ ἴσοις μετ᾽ ὄξους καὶ ῥοδίνου χρῶ, ἢ ὄξει καὶ νίτρῳ καὶ μέλιτι κλύζε. ἐφ᾽ ὧν δὲ διὰ πολλὴν αἴσθησιν ἐγγίνεται ἦχος, καστόριον καὶ κωνείου σπέρμα λειώσας σὺν ὄξει ἐπίσταζε. ἐπὶ δὲ τῶν ἐκ νόσου ἤχων ἀψινθίου ἀφεψήματος πυριάσας, τὸ ὄξος καὶ τὸ ῥόδινον ἔγχει, ἢ ῥαφάνου χυλὸν μετὰ ῥοδίνου, ἢ ἁλόην καλλίστην μετ᾽ οἰνομέλιτος ἀνεθεῖσαν. εἰ δ᾽
12.646 ἐπιμένοι, ἐλλέβορον μέλανα ἐψήσας μετ᾽ ὄξους χρῶ. τοιαῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψε πρὸς τοὺς ἐν τοῖς ὠσὶν ἤχους, ὁ δ᾽ Ἀπολλώνιος ἐν τῷ πρώτῳ τῶν εὐπορίστων τὰ ὑπογεγραμμένα.

Τὰ ὑπ᾽ Ἀπολλωνίου πρὸς ἤχους καὶ βόμβους καὶ συριγμοὺς καὶ ἐμπνευματώσεις. Ὄξος δριμὺ χλιαίνων ἔνσταζε. ἔλαιον καὶ ὄξος χλιαίνων ἔνσταζε. μέλι Ἀττικὸν θερμὸν ἔνσταζε. δάφνινον ἔλαιον ὡσαύτως. πράσου χυλὸν μετὰ γάλακτος γυναικείου ἢ ῥοδίνου ἐγχυμάτιζε. σικύου ἀγρίου τὸν καρπὸν χυλίσας ἢ φύλλα δι᾽ ὀθονίου ἔνσταζε. κολοκύνθης ἀγρίας ἐντεριώνην ἐλαίῳ διεὶς ἔγχει, κύμινον λεῖον καὶ μυελὸν μόσχειον ἔνσταζε. σικύου ἀγρίου ἐντεριώνην ἐλαίῳ διεὶς ἔγχει, βάλανον μυρεψικὴν τρίψας καὶ στέαρ χήνειον καὶ ῥητίνην, ἴσα μίξας ἔνσταζε. λινόσπερμα τρίψας καὶ διεὶς μύρῳ Ἀραβικῷ ἔνσταζε. μίσυ λεάνας καὶ διεὶς μύρῳ ῥοδίνῳ χρῶ. πήγανον καὶ κύμινον ἴσα τρίψας καὶ διεὶς καὶ εἰς μέλι μίξας ἔγχει. ὔσσωπον τρίψας καὶ κεδρίνῳ διεὶς ἐλαίῳ

ἔνσταζε, ἀμυγδάλων πικρῶν ἔλαιον μέλιτι μίξας. ἐὰν δὲ ἐνεργεστέρῳ
12.647 βούλῃ χρῆσθαι, σύμπλεξον τοῦτο τῷ προτέρῳ, ἄγνου καὶ ἀσκαλαβώτου κεφαλὴν τρίψας ἐξ ἴσου καὶ μίξας ἔλαιον ἔνσταζε. νίτρον καὶ ῥητίνην καὶ στέαρ χήνειον, ἴσα μετ᾽ ἐλαίου μίξας καὶ διαλύσας χρῶ. κρόμμυον καὶ σκόροδον καὶ στέαρ χήνειον ἴσα τρίψας καὶ διηθήσας ἔγχει καὶ προεκκλύσας ὕδατι θερμῷ νίτρον λεῖον ἐμφύσα.

Πρὸς ὦτα ἡλκωμένα καὶ ἰχωρροοῦντα τοῦ αὐτοῦ. Πρώτους μὲν ἔγραψε κλυσμοὺς Ἀπολλώνιος, δεύτερα δὲ τὰ ἔγχυτα φάρμακα καὶ τρίτα τὰ ξηραντικὰ καὶ τέταρτα τὰ ἐμφυσώμενα κατὰ τὴν ὑπογεγραμμένην λέξιν ἑρμηνεύων ταῦτα. κλυσμοί. ὕδατι θερμῷ συνεχέστερον ἔκκλυζε. φακοῦ ἀφεψήματι ὡσαύτως. ὑδρομέλιτι θερμῷ παραπλησίως ἔκκλυζε. κισσοῦ ἀποβρέγματι ἢ ἀφεψήματι μετ᾽ οἴνου χρῶ. σιδίων ἀποβρέγματι ἢ ἀφεψήματι μετ᾽ οἴνου παραπλησίως. κηκίδος ἁδρᾶς ἀφεψήματι μετ᾽ οἴνου μυρσίνην ἀφεψημένην ἐν οἴνῳ κλύζε. οἴνῳ μετ᾽ ὀλίγης στυπτηρίας τετριμμένης χρῶ. στοιβῆς καρπὸν ἐν οἴνῳ ἑψήσας κλύζε. οὖρον καὶ οἶνον μίξας καὶ θερμάνας ἔκκλυζε, πίσσης ὀρρῷ ἐγχυμάτιζε.
12.648 ἐλαίας φύλλα χυλίσας καὶ μέλιτι μίξας, συνέψησον καὶ τούτῳ χρῶ. μηκώνιον διεὶς γλυκεῖ ἔνσταζε. κρομμύου χυλίσματι μετὰ μέλιτος χρῶ. πηγάνου ἀγρίου χυλὸν μετ᾽ οἴνου καὶ ῥοδίνου ἐλαίου, ἐν ῥοιᾶς σιδίῳ τεθερμασμένον ἔνσταζε. χολὴν βοὸς ἢ συὸς ἐν σιδίῳ ῥοιᾶς χλιαρὰν ἔνσταζε. χολὴν αἰγὸς ἢ προβάτου. ἢ χελώνης θαλασσίας μετὰ γάλακτος γυναικείου χλιαρὰν ἔνσταζε. καρδάμωμον τρίψας μετὰ μέλιτος ἔνσταζε. πευκεδάνου ὀπὸν ῥοδίνῳ διεὶς χρῶ. ἀλόην καὶ κροκόμαγμα διεὶς ἔνσταζε. ἀψινθίῳ λείῳ μετὰ μέλιτος χρῶ. σμύρνην καὶ ῥητίνην καὶ στέαρ χήνειον μετ᾽ ἐλαίου τρίψας ἐγχυμάτιζε. τὸ λίπος τὸ ἐπιγινόμενον ἐπὶ τοῦ τυροῦ ἐν τοῖς κεραμείοις συγκειμένου χλιάνας ἔνσταζε. διφρυγὲς λεάνας μετὰ μέλιτος ἔνσταζε. στυπτηρίαν σχιστὴν λεάνας μετὰ γλυκέος καὶ ὄξους ἔψησον, ἕως ἂν μέλιτος σχῇ πάχος καὶ χρῶ. ξηραντικά. κεδρίαν μέλιτι μίξας ἔνσταζε. πεπέρεως λευκοῦ κόκκους τρεῖς διεὶς μύρῳ Αἰγυπτίῳ, κόγχῃ μικρᾷ λεάνας ἔνσταζε. κρόκου καὶ ψιμμυθίου ἴσα τρίψας καὶ διεὶς ῥοδίνῳ ἔγχει. μελάνθιον καὶ θεῖον ἴσα τρίψας καὶ διεὶς
12.649 ῥοδίνῳ καὶ μίξας μύρον ἴρινον καὶ στέαρ αἴγειον, ἴσα καὶ αὖθις τρίψας χρῶ. σμύρναν καὶ θεῖον ἴσα τρίψας καὶ ἐλαίῳ μίξας ἔνσταζε. σμύρναν καὶ

σίδιον ῥοιᾶς γλυκείας ἴσα τρίψας καὶ μέλιτι διεὶς ἔγχει. θηρία τὰ ἀπὸ τῶν δένδρων, ὥσπερ σκώληκας ἐρυθροὺς, τρίψας καὶ διεὶς ἐλαίῳ χρῶ. θηρίον ὃ γῆς ἕντερον καλεῖται, ἑψήσας καὶ διασήσας ἔνσταζε. ῥητίνην καὶ μέλι καὶ ἔλαιον ἴσα μίξας καὶ διαλύσας ἔνσταζε. ῥοιὰν λαβὼν γλυκεῖαν καὶ περιτεμὼν τὸν ὀμφαλὸν ἐκκόκκισον, εἶτα ἐγχέας γλυκέος κύαθον καὶ προσεπιπάσας χαλκάνθου λείου ὀβολοὺς δύο, συνέψησον μέχρις ἂν σύμμετρον πάχος σχῇ καὶ χλιαρῷ χρῶ.

Ἐμφυσητικά. Κηκίδα λείαν ἐμφύσα. πέπερι στρογγύλον μετ᾽ οἴνου συντρίψας ἔμπασον. τῷ δ᾽ αὐτῷ χρηστέον καὶ ἐγχύματι μᾶλλον διειμένῳ. ὀμφάκινον καὶ κηκίδα πεφωγμένην, ἴσην λεάνας ἐμφύσα. χρηστέον δὲ καὶ περιπάτοις καὶ κοιλίας κενώσεσι καὶ σιτίων ὑποστολῇ καὶ διακαθάρσει τῶν ὤτων ἐπιμελέστερον. πρὸς τὰ κάθυγρα ὦτα. πρὸς δὲ
12.650 τὰ κάθυγρα τῶν ὤτων, οὕτω γὰρ αὐτὸς ὀνομάζει, φάρμακα χρήσιμά φησιν ὁ Ἀπολλώνιος τὰ ὑπογεγραμμένα. μίσυ καύσας ἐν ὀθονίῳ καὶ σὺν αὐτῷ λεάνας ἐμφύσα. κηκίδα καύσας καὶ τρίψας παραπλησίως χρῶ. σποδὸν λείαν ὡσαύτως, στυπτηρίαν ὀπτήσας ἐπ᾽ ὀστράκῳ καὶ λεάνας, ἔλαιον προσεγχέας ἐμφύσα. τῷ δ᾽ αὐτῷ τῆς ἐπιμελείας τρόπῳ χρῶ.

Πρὸς δυσηκοΐας. Πρὸς δὲ τοὺς ὑποκώφους, εἴτε δυσκώφους εἴτε δυσηκόους ἐθέλοι τις ὀνομάζειν, τῶν μὲν μικρῶν φωνῶν μηδ᾽ ὅλως ἀκούοντας, τῶν δὲ μεγάλων μόγις, ὑποπτευτέον τὸ σύμπτωμα, κατὰ βραχὺ γὰρ αὐξανόμενον ἐν τῷ χρόνῳ κωφότητα τελείαν ἀπεργάζεται. καθαρτέον τοίνυν ἐστὶ τῇ ἱερᾷ καὶ τοῖς διὰ τῆς κολοκυνθίδος καταποτίοις, ἀποφλεγματιστέον τε καὶ κεφαλὴν ξηραντέον, ἅπαντί τε τρόπῳ ῥωστέον, ὡς ἐπιδέδεικται πολλάκις. ἔστι δὲ καὶ διαίτῃ λεπτυνούσῃ χρηστέον, εἰς αὐτὸ δὲ τὸ οὖς ἐμβλητέον φάρμακα διαιρετικά τε καὶ τμητικὰ καὶ λεπτυντικὰ γλίσχρων τε καὶ παχέων χυμῶν, ὧν ἡ ὕλη τοιάδε τίς ἐστιν.

12.651 Τὰ ὑπ᾽ Ἀπολλωνίου γεγραμμένα κατὰ τὸ πρῶτον τῶν εὐπορίστων, πρὸς δυσηκοΐαν φάρμακα κατὰ λέξιν οὕτως. Πρὸς τὰς δυσηκοΐας τὰς ἐξαπίνης καὶ τὰς ἐκ τῶν κεφαλαλγιῶν ἀψίνθιον μεθ᾽ ὕδατος ἑψήσας, πυρία διὰ καλάμης κατὰ τὸν ὑποδεδειγμένον διὰ καλάμου τρόπον. δαφνίδας ἢ φύλλα δάφνης ἑψήσας ἐν ὕδατι παραπλησίως χρῶ. ὀρίγανον ὁμοίως,

ὕσσωπον ὁμοίως, θάλασσαν καὶ ὄξος ὁμοίως. τοῖς δ᾽ αὐτοῖς τούτοις χρηστέον καὶ ἐν χυτρίδι ἐψημένοις, καὶ τῇ διὰ τῆς χυτρίδος δεδηλωμένῃ πυρίᾳ. κλυσμοί. ὄξει λευκῷ καὶ ὕδατι ἴσοις καὶ νίτρῳ λείῳ ὁμοῦ ἐξεσμένοις κλύζε ἐφ᾽ ἡμέρας πλείους, καὶ μετὰ ταῦτα κλύζε ὕδατι θερμῷ δαψιλεῖ. ἐνστάξεις. καὶ οὕτως ἐγχυμάτιζε τοῖς πρὸς ταῦτα ἀναγεγραμμένοις. πράσου χυλὸν καὶ ἴρινον μύρον μίξας ἔνσταζε. χολὴν βοείαν καὶ αἰγείαν καὶ μύρον ῥόδινον μίξας ἔνσταζε. κρομμύων χύλισμα καὶ ῥητίνην ἐλαίῳ διεὶς ἐξ ἴσου χρῶ. καρύων ἔλαιον καὶ ῥητίνην μίξας, ἐξ ἴσου χρῶ. στυπτηρίαν ὄξει διεὶς ἔνσταζε. σμύρναν καὶ στυπτηρίαν ἴσην
12.652 λεάνας καὶ διεὶς ὄξει ἐγχυμάτιζε. στέαρ χήνειον καὶ χολὴν βοὸς καὶ δάφνινον ἴσα μίξας ἔνσταζε. κισσοῦ ἀγρίου τὸν καρπὸν χυλίσας δι᾽ ὀθονίου ἔνσταζε. ἐλλέβορον μέλανα σὺν ὄξει λεάνας καὶ μέλιτι ἐπὶ πολὺ ἐψημένῳ ἀναλαβὼν ποίει κολλύρια βαλανοειδῆ μικρὰ καὶ ἐντίθει τῷ πόρῳ καὶ ἔα ἐπὶ ἡμέρας ε′. γῆρας ὄφεως τρίψας μετ᾽ ὄξους ἔνσταζε. τῷ δ᾽ αὐτῷ καὶ μετὰ χολῆς βοείας ἢ αἰγείας ἢ χελώνης θαλασσίας ἢ τοῦ καλλιωνύμου διειμένου χρῶ. καρδάμου τὸ ἱκανὸν καὶ νίτρου βραχύ, σύκου σαρκὶ χωρὶς τῶν κεγχραμίδων ἀναλαβὼν ποίησον κολλύριον ἁρμόττον τῷ πόρῳ τῆς ἀκοῆς καὶ ἔνθες, κομίζου δὲ αὐτὸ τριταῖον. τοῦτο ἄγει ῥύπον ἱκανὸν καὶ παραχρῆμα κουφίζει. ἐπιμελητέον δὲ καὶ τοῦ λοιποῦ σώματος, περιπάτοις τε πρὸς δύναμιν ἱκανῶς καὶ τρίψει τῆς κεφαλῆς καὶ τῶν ἄλλων μερῶν, ἔτι δὲ ἀποφλεγματισμοῖς καὶ διακλύσμασιν ἀποκρίνειν δυναμένοις, τροφαῖς τε χρηστέον πλήθει συμμέτροις καὶ κατὰ τὸ γένος εὐλύτοις τε καὶ εὐεκκρίτοις. βοηθεῖ δὲ
12.653 ἱκανῶς τοῖς ἐν ταύτῃ τῇ διαθέσει καθεστῶσι καὶ σπογγίον εἰς λεπτὰ κατατετριμμένον καὶ συνεστραμμένον καὶ μέλιτι καταβεβρεγμένον καὶ εἰς τὴν ἀκοὴν ἐπιτιθέμενον. τὸ δ᾽ αὐτὸ τοῦτο χρήσιμόν ἐστι καὶ πρὸς τὴν σάρκα, τὴν φυομένην ἐν τῷ πόρῳ τῆς ἀκοῆς. ἐπὶ δὲ τούτοις ἔφησε χρηστέον εἶναι τῇ διὰ τῆς χυτρίδος δεδηλωμένῃ πυρίᾳ, ἣν αὐτὸς δηλονότι πρόσθεν ἐγεγράφει κατὰ τὰ τῆς ἀκοῆς βοηθήματα. παραλέλοιπα δὲ αὐτὴν ἐγὼ, κατεγνωκὼς διὰ τὸ κλυσμὸν μέν τινα ποιεῖν τοῖς ὀδυνωμένοις, ὠφέλειαν δὲ οὐδεμίαν. διὰ τοῦτο νῦν αὐτὴν προσθήσω. τοὺς γὰρ δυσκωφοῦντας εἰκός ἐστιν ὑπ᾽ αὐτῆς ὠφεληθήσεσθαί τι τῶν ἐναντίων βοηθημάτων δεομένους τοῖς

ὀδυνωμένοις. ἡσυχίας μὲν γὰρ ἀκριβοῦς ἐν ταῖς ὀδύναις χρήζει τὰ πεπονθότα μόρια, κινήσεως δὲ σφοδρᾶς καὶ ὡς ἂν εἴποι τις μεταποιήσεως εἰς ἐναντίαν διάθεσιν τῆς οὔσης τὰ δυσκωφοῦντα.

Πυρίαι πρὸς ὠταλγίαν αἱ ὑπὸ Ἀπολλωνίου γεγραμμέναι κατὰ λέξιν
12.654 οὕτως. Πυρίαις δὲ χρηστέον ταῖς διὰ τῶν σπόγγων, εἰς θερμὸν ὕδωρ ἀποβεβρεγμένων τούτων, ἱκανῶς τε ἐκτεθλιμμένων καὶ ταῖς διὰ τῆς σικύας, ἔτι τε ταῖς διὰ τοῦ ἀτμοῦ τῶν τετρημένων καλάμων. χρὴ δὲ τὸ μὲν ἕτερον τοῦ καλάμου πέρας ἡρμόσθαι τῇ κοιλότητι τοῦ ὠτίου, τὸ δὲ ἕτερον ἐν χύτρᾳ πῶμα τετρημένον ἐχούσῃ καὶ πάντοθεν ἐστεγνωμένῃ ἐγκεῖσθαι. ἔστω δὲ ἀψίνθιον ἐν ὕδατι ἀπεζεσμένον ἐχούσῃ ἐν αὐτῇ, ὥστε τὸν ἀναφερόμενον χυμὸν προσπίπτειν τῷ τῆς ἀκοῆς πόρῳ, ὡσαύτως δὲ πυριατέον καὶ στέατι περὶ ὀβελίσκον ὠπτημένῳ. σφόδρα δὲ ἁρμόζει καὶ ὁ ὑπογεγραμμένος τῆς πυρίας τρόπος. οὖρον μάλιστα μὲν ταύρου, εἰ δὲ μή, βοὸς, ὡς παλαιότατον εἰς χύτραν ἐγχέοντα καινὴν στενόστομον καὶ ὄξος τὸ τρίτον μέρος, τοῦ οὔρου μίξαντα καὶ μυρσίνην κεκομμένην, ὄστρακα πίθου τοῖς μεγέθεσιν ἱκανὰ διάπυρα ποιήσαντα, ἐμβάλλειν εἰς τὴν χύτραν, εἶτα κλίναντα τὸν ἄνθρωπον εἰς τὸ οὖς προσθεῖναι τὴν χυτρίδα καὶ οὕτω πυριᾷν. περὶ δὲ τὸ οὖς σπεῖραν χρὴ ποιεῖν ἐξ ἐρίου, πρὸς τὸ μὴ κατακαίεσθαι τοὺς ἐν κύκλῳ τόπους. χρηστέον δὲ καὶ ἀλεύρῳ κριθίνῳ τε
12.655 καὶ πυρίνῳ μετ᾽ οἴνου ἑψημένῳ καὶ ἰρίνῳ μύρῳ θερμῷ πυρίας χάριν. ἐπὶ δὲ τὸ οὖς ἄνωθεν ἐπιθετέον ἔρια μαλακὰ καὶ καθαρὰ οἴνῳ καὶ ἐλαίῳ κατειργασμένα καὶ ἄλευρον κρίθινον ἢ πύρινον, ποτὲ μὲν αὐτὸ καθ᾽ αὐτὸ ἑψημένον μετ᾽ οἴνου καὶ ἰρίνου μύρου, ποτὲ δὲ καὶ μίγμα ἔχον περιστερᾶς ἀφόδου καὶ ἀριστολοχίας λεπτῆς ἴσον. συνοίσει δὲ καὶ τροφῆς ἔνδεια καὶ λεπτὴ δίαιτα καὶ κοιλίας κένωσις ἀξιόλογος, ἔτι δὲ ἀνάπαυσις, ἡσυχία, σκέπη τῆς κεφαλῆς, πόμα θερμὸν ὕδωρ, μελίκρατον, πτισάνης χυλὸς μετὰ μέλιτος ἄχρις ἂν ἐνδῶσιν οἱ πόνοι.

Ἀρχιγένους τὰ πρὸς δυσηκοΐας καὶ κωφώσεις αὐτοῖς ὀνόμασι γεγραμμένα. Ἐπὶ δὲ δυσηκοΐας τοῦ φλοιοῦ τῆς ῥαφάνου τὸν χυλὸν σὺν ῥοδίνῳ ἢ κυπρίνῳ χλιάνας ἔνσταζε. ἢ χαλβάνην σὺν ὄξει καὶ μέλιτι ζέσας. ἐπὶ δὲ τῶν ἐπιγενομένων κωφώσεων ἐλλεβόρου μέλανος ὅσον ὄροβον, ἐν μέλιτι ἐφθῷ τίθει καὶ ἔα ἕως ἂν τὸ ἐμποδίζον διαφράγῃ. ἢ

ἀψινθίου ἐκκλύσας ἀφεψήματι μέλι καὶ ἔλαιον ἔνσταζε. ἢ κολλύριον καθέντες διὰ νίτρου καὶ σύκου καὶ νάπυος, οὐκ ἐξαιροῦμεν ἡμέρας τρεῖς.
12.656 μετὰ τοῦτο δὲ ὀξείαις φωναῖς ἐμβοῶμεν συνεχέσι καὶ αὖθις βαρείαις, ἐνσαλπίσαντες δὲ αὐτοῖς ὕστερον ἀποκαθιστῶμεν, μεθ' ἃ ἐγχέομεν ὠφελίμως ἀσφοδέλου ῥίζας ἐλαίῳ παλαιῷ ἀφεψήσαντες, αἰγείῳ τε οὔρῳ ἐκκλύζομεν συνεχῶς. πρὸς δὲ τὰς ἐκ κεφαλαλγιῶν κωφώσεις ῥαφάνου χυλὸν μετὰ ῥοδίνου ἔγχεον. ἢ σικύου ἀγρίου χυλὸν τῶν φύλλων. ἢ καστορίου μετὰ δαφνίδων καὶ ὄξους ἢ ἀλλεβόρου μέλανος λευκῷ ὄξει πεφυραμένου ὅσον ὄροβον, μέλιτι μίξας ἐφθῷ βαλάνια ποιῶν ἐντίθει. τοῦ αὐτοῦ περὶ τῶν ἐμπιπτομένων τοῖς ὠσὶ σωμάτων. εἰ δὲ ὕδωρ εἰς τὸ οὖς ἐμπέσοι, βοηθεῖ μὲν τὸ ὄξος καὶ ἐφ' ἑνὶ ποδὶ τῷ κατὰ τὸ πάσχον οὖς ἄλλεσθαι, παρεκκλίναντά πως ἑαυτὸν, ἐκκρίνεται γὰρ αὐτόθι εὐχερῶς. καὶ ὁ ἐκμυξησμὸς δὲ ἄκρως ἐπισπᾶται διὰ ψιλοῦ τοῦ στόματος ἢ καὶ διὰ καλαμίδος, εἶτα δι' ἐρίου διαψήσας τῶν προειρημένων τι μύρων ἔνσταζε. ψηφῖδος δὲ ἐμπεσούσης τῷ πόρῳ τοῦ ὠτὸς ἢ κυάμου ἤ τινος παραπλησίου ἔκκλυζε. ἢ μηλωτρίδι περιελίξας ἔριον καὶ ἐμβάψας ῥητίνῃ
12.657 ἀνάσπα ἢ διά τινος τῶν ἐχεκόλλων φαρμάκων. εἰ δὲ μὴ ὑπακούοι, πταρμικὸν εἰς τὰς ῥῖνας ἐνιεὶς ἔμφραττε τὸ στόμα καὶ τοὺς ῥώθωνας. κατὰ γὰρ τὴν γεγενημένην ἔντασιν τοῦ πνεύματος ἐκφυσᾶται τὸ ἐμπεσόν. ποίει δὲ συνεχῶς ἄχρις ἂν ἐκπέσῃ. εἰ γὰρ ἐμμείνῃ ἐπιφλεγμαῖνον τὸ οὖς, σπασμοὺς ἐπιφέρει. κάλλιστα δὲ συνεργεῖ εἰς τὴν τῶν ἐμπεσόντων ἀποβολὴν καὶ ὁ κατασεισμὸς, εἰ μὲν παιδίον ᾖ, τῷ ποδὶ κατεχόμενον καὶ ἐπὶ κεφαλῇ αἰωρούμενον μετὰ κατασεισμοῦ, εἰ δὲ τέλειος εἴη ὁ πάσχων, κατακλίνας αὐτὸν ἐπὶ σανίδα κατὰ τὸ πάσχον οὖς, καὶ κελεύων τὴν κεφαλὴν ἐρείδειν τῇ σανίδι, ἔπειτα κουφίζων τὸ πρὸς τὴν κεφαλὴν μέρος τῆς σανίδος, ἕα καταφέρεσθαι καὶ τοῦτο ποίει πλειστάκις. κινηθήσεται γὰρ τὸ ἐμπεσὸν καὶ προβιβασθήσεται περὶ τὰ προχειρότερα μέρη τοῦ πόρου, μετὰ δὲ ταῦτα κυαθίσκῳ στενῷ μικρῷ μηλωτρίδος ἀνάσπα εὐφυῶς. εἰ δὲ κύαμος ἐμπεσὼν ἤ τι ἕτερον παραπλήσιον καὶ ἐμμεῖναν, διάβροχόν τε γενόμενον καὶ ἐξοιδῆσαν, ὀδύνας ἐπιφέροι, ὁλόκληρον μὲν αὐτὸ ἐξελεῖν ἀδύνατον, χρὴ δὲ τῷ
12.658 κυαθίσκῳ τῆς μηλωτρίδος εὐφυῶς αὐτὸ διαμερίζειν καὶ οὕτω κατὰ βραχὺ ἐκφέρειν, ἔπειτα ἕψημα ἢ γλυκὺν οἶνον θερμὸν ἐγχεῖν καὶ

παρηγορεῖν τὸν πόρον διὰ τὸν γινόμενον σπαραγμόν. ζώου δέ τινος ἐμπεσόντος, σκαμμωνίαν διεὶς ὄξει ἢ ἀψινθίου χυλὸν ἢ πευκεδάνου χυλὸν, καὶ νίτρου καὶ θείου μετὰ χυλοῦ ῥαφάνου ἔνσταζε.

Ἀπολλωνίου περὶ τῶν αὐτῶν. Ἀπολλώνιος δὲ περὶ τῶν αὐτῶν οὕτως ἔγραψε. πρὸς ψύλλας καὶ σκώληκας ἐν ὠσὶ καὶ τὰ λοιπὰ τὰ εἰς τὸν πόρον τῆς ἀκοῆς εἰσδυόμενα. ὄξος καὶ ἔλαιον ἔνσταζε. ἢ καππάρεως χυλὸν ἔνσταζε. ἢ ἀμύγδαλα πικρὰ τρίψας καὶ τὸ ἐλαιῶδες αὐτῶν ἐκθλίψας ἔνσταζε. ἄλλο. ἐλλέβορον λευκὸν λεῖον ἔμπασσε. ἢ ἀριστολοχίαν λείαν ἔμπασον. ἢ καλαμίνθης χυλὸν ἔγχει. ἢ κινναβάρεως χλωρᾶς ἔνσταζε. ἢ ἐλλέβορον λευκὸν μετ᾽ οἴνου ἐγχυμάτιζε. ἢ στυπτηρίας καὶ κολοκύνθης τῆς ἀγρίας τοῦ σπέρματος ἢ τῆς ἐντεριώνης ἴσον τρίψας μετὰ κεδρίνου ἐλαίου ἔνσταζε. ἢ κρόμμυον τρίψας καὶ ὑσσώπου τὸ ἴσον οὔρῳ παλαιῷ
12.659 διεὶς ἐγχυμάτιζε. ἢ σμύρναν τρίψας ὄξει τε καὶ μέλιτι διεὶς ἴσοις χρῶ. ἢ χαλκῖτιν ὠμὴν τρίψας καὶ μέλιτι διεὶς ἐγχυμάτιζε. καθόλου δὲ ἐξαιρετέον τὰ εἰς τὸν πόρον ἐμπίπτοντα τοῦτον τὸν τρόπον. ὠτογλυφίδι ἢ λαβίδι ἢ ἐρίῳ μαλακῷ περὶ μηλωτρίδα περιειλημένῳ καὶ περιερρητινωμένῳ ἢ ἄγκιστρον ἔχοντι λεπτόν. πρὸς ῥύπον τὸν ἐν ὠσί. νίτρον ὀπτὸν λεάνας ἔμπλασον εἰς τὸ οὖς καὶ ἐπίσταξον ὄξος καὶ ἔριον προσθεὶς, ἔασον διὰ νυκτὸς, τῇ δ᾽ ὑστεραίᾳ κλύσον ὕδατι καὶ ἐλαίῳ θερμῷ. πρὸς δὲ τὸ ἐναπολαμβανόμενον ὕδωρ κρομμύου χυλὸν καὶ στέαρ χήνειον χλιάνας ἔνσταζε. ἢ ῥοιᾶς ἀπυρήνου γλυκείας καὶ ὀξείας χυλὸν ἐψήσας ἐν χαλκῷ ἀγγείῳ, ἕως λειφθῇ τὰ δύο μέρη, χρῶ, ὅσον δύο σταλαγμοὶ ἐνστάζων. ἢ σμύρναν τρίψας ὄξει καὶ μέλιτι ἐγχυμάτιζε.

Ἐκ τῶν Κρίτωνος ὠτικῶν φαρμάκων γεγραμμένων αὐτοῖς ὀνόμασι. Ὠτικαὶ πρὸς τοὺς ἀπὸ νόσων ἤχους. ἀψίνθιον ἐψήσας ἐν ὕδατι πυρία καὶ ῥόδινον μετ᾽ ὄξους ἔνσταζε. ἢ ῥαφάνου χυλὸν τοῦ φλοιοῦ μετὰ ῥοδίνου ἔνσταζε. ἢ ἀλόην μετ᾽ οἴνου καὶ μέλιτος. ἢ λίβανον μετ᾽ ὄξους καὶ
12.660 ῥοδίνου, ἐν κελύφῳ ῥοιᾶς ἐψηθέντα, ὡς γενέσθαι μελιτῶδες. ἢ ὑοσκυάμου χυλὸν σὺν ῥοδίνῳ χλιαρόν. ἢ καλάμου χλωροῦ χυλὸν τῶν ῥιζῶν σὺν γάλακτι. ἢ ῥάμνου χυλὸν σὺν νάρδῳ Κελτικῇ. ἢ κηκίδα μέλαιναν μετὰ σμύρνης ἴσης σὺν μέλιτι. ἢ λύκιον μετ᾽ οἰνομέλιτος ἔνσταζε. ἢ ἀλώπεκος στέαρ. πρὸς τὰς χωρὶς ὑγρότητος περιωδυνίας τὰς

ἐν ὠσὶ καὶ πυορροίας. οἴνου παλαιοῦ γο α . μέλιτος Κορσικοῦ γο α . νίτρου ἐρυθροῦ γο τὸ . λυκίου Ἰνδικοῦ γο α . λειοτρίβει τὸ λύκιον μετὰ τοῦ οἴνου καὶ τοῦ νίτρου καὶ ἐπίμιξον τὸ μέλι καὶ εἰς ὑέλινον ἀγγεῖον ἀπόθου καὶ ἐγχυμάτιζε χειμῶνος μὲν δὶς τῆς ἡμέρας, θέρους δὲ πλεονάκις, καὶ ἐντίθει κροκύδα κογχυλίου. πρὸς ὦτα πυορροοῦντα. στυπτηρίαν σχιστὴν λειώσας παρέγχει ὄξος καὶ τρίψας ὡς γλοιοῦ ὑγροτέραν σχεῖν σύστασιν, ἀναλάμβανε πλακὶ ἐρίου καὶ ξηράνας τὸ ἔριον. ἐκ τούτου ἐντίθει εἰς τὸ οὖς. ἢ αὐτὸ τὸ φάρμακον ὑγρὸν δι' ἐρίου περὶ μηλωτίδα καθιεὶς εἰς τὴν ἀκοὴν, διάχριε αὐτὴν καθ' ἡμέραν. πρόσβαλλε δὲ καὶ γλυκέος ὀλίγου, ἵνα μὴ ξηραίνηται.

12.661 Ἀρχιγένους πρὸς τὰ ἔξωθεν τοῦ πόρου τῶν ὤτων πάθη. Πρὸς δὲ τὰ τῶν ὤτων ἔξωθεν τοῦ πόρου πάθη Ἀρχιγένης μὲν οὕτως ἔγραψεν. ἐπὶ δὲ τῶν τεθλασμένων ὤτων, σμύρναν, λίβανον, γῆν μέλαιναν ᾗ τινες σμῶνται σὺν ὄξει δριμεῖ, εὖ ἐνώσας κηρωτῆς πάχος κατάπλασσε καὶ μὴ ἐρέθιζε μηδαμῶς. ἢ ψιμμυθίου καὶ σελίνου σπέρμα ἴσα μετὰ μέλιτος κατάχριε, τινὲς ἀψίνθιον ἀντὶ ψιμμυθίου γράφουσιν. ἢ θεῖον ἄπυρον, σμύρναν καὶ λίβανον μετὰ πίσσης ὑγρᾶς σπλήνιον ἐπιτίθει. ἢ κόλλαν τεκτονικὴν καὶ ἄσφαλτον ὁμοίως, ἔνιοι καὶ μάνναν μίσγουσιν. ἢ τῇ Ἀσκληπιαδείῳ χρῶ κεφαλικῇ. ἢ τοῖς πρὸς τὰ αἰδοῖα τροχίσκοις κατάχριε. ἐφ' ὧν δὲ τέθλασται τὰ ὦτα, πληρώσας ἔσωθεν τὴν κοιλότητα τὴν προχειροτέραν τοῦ χόνδρου, γῆς κεραμικῆς τῇ ἑξῆς, ὅταν ξηρανθῇ, στρύχνον μετὰ ψιμμυθίου ἐπάλειφε μέχρι καταστῇ. ἐπὶ δὲ τῶν περὶ τὰ ὦτα τραυμάτων καὶ διαιρέσεων ἐγχονδρίσας ἐπιμελῶς ἀγκτηρίασον, εἶτα τοῖς
12.662 ἀφλεγμάντοις καὶ τῇ λοιπῇ κολλητικῇ ἀγωγῇ χρῶ. τὰ δὲ φλεγμαίνοντα τρήματα τῶν λοβῶν ἐπὶ παίδων, ἐλαίῳ ἐν χαλκῷ λύχνῳ ἰωθέντι καταχρίων ὑγιάσεις. Ἀσκληπιάδης δὲ τούτῳ πρὸς ὦτα τεθλασμένα ἐχρήσατο. κοχλίας τοὺς μικροὺς σὺν τοῖς ὀστράκοις τρίψας καὶ μίλτῳ χρώσας ἐπιτίθει. ἄλλο. Ⴑ ἀλόης μέρος α ′ . κόλλης τεκτονικῆς ἑψημένης μετ' ὄξους μέρος α′. μίξας ἐπιτίθει, ἔνιοι καὶ μάνναν μίσγουσιν.

Ἐπιθέματα πρὸς τεθλασμένα ὦτα. Ⴑ Κοτυληδόνος βοτάνης ⋖ η′. ἀμυγδάλων πικρῶν κεκαθαρμένων ⋖ β′. τραγακάνθου ⋖ β′. ὄξει διαλύσας ἀναλάμβανε ἰξῷ δρυΐνῳ, ἔπειτα ἐμπλάσας ἐπιτίθει. ἢ κηροῦ ⋖ η′.

χαλβάνης ‹ η΄. κάρυος ‹ η΄. ἰξοῦ δρυΐνου ‹ ιστ΄. λιβανωτοῦ ‹ η΄. μίσυος ὀπτοῦ ‹ η΄. συντίθει καὶ χρῶ. Ἀπολλώνιος δὲ οὕτω πρὸς τὰς τῶν ὤτων φλεγμονὰς τὰς ἐν τῇ ἐπιφανείᾳ γινομένας ἐξ ἐπιφορᾶς ἢ πληγῆς, καὶ τὰ οἰδήματα καὶ τὰ ἐρυθήματα ἐθεράπευε. βούτυρον πρόσφατον διηθήσας ἔνσταζε. ἢ στέαρ χήνειον διηθήσας ἐγχυμάτιζε. ἢ στέαρ χήνειον καὶ γάλα
12.663 γυναικεῖον μίξας ἔνσταζε. ἢ βαλάνου πίεσμα καὶ ῥητίνην ὑγρὰν χλιαρὰν ἔγχει. ἢ στέαρ βόειον καὶ χήνειον ἴσα λεάνας ἔνσταζε. ἢ ὠκίμου χυλὸν καὶ στέαρ χήνειον ἴσα μίξας ἔνσταζε. ἄλλο ἐπίχριστον. μηκώνειον ὕδατι διεὶς πτερῷ ἔγχριε. ἢ κρόκον τρίψας καὶ γάλακτι γυναικείῳ διεὶς κατάχριε. ἢ λιθάργυρον τρίψας μεθ’ ὕδατος καὶ νάρδου λεπτῆς ἐπίχριε. ἢ ψιμμύθιον, κορίων χυλῷ ἢ πολυγόνου ἢ στρύχνου διεὶς κατάχριε. καταπλάσματα. ἀψίνθιον τρίψας μεθ’ ὕδατος κατάπλασσε. ἢ σήσαμον τρίψας ἐν ὕδατι κατάπλασσε. φακὸν ἑψήσας ἐν ὕδατι καὶ τρίψας μετὰ μέλιτος κατάπλασσε. ἢ ῥοιᾶς γλυκείας σίδια ἑψήσας ἐν οἴνῳ καὶ τρίψας κατάπλασσε, ἀγαθὸν πάνυ τὸ φάρμακον. σμύρναν καὶ στέαρ χήνειον ἢ βούτυρον ἢ ῥητίνην καὶ κογχυλίου τὸ ἐντὸς ἴσα τρίψας ἐπιτίθει ἐπὶ τὸ οὖς καὶ τὸν κατ’ αὐτῷ κρόταφον. ἔνδεια δὲ σιτίων ἁρμόζει καὶ κοιλίας κένωσις. ἔτι δὲ ἡσυχία καὶ σκέπη κεφαλῆς καὶ σώματος ἀνάπαυσις. ἀλλότρια δέ ἐστιν ἔγκαυσις, κατάψυξις, λουτρὸν, ἔμετος, κραυγὴ καὶ πᾶσα διάστασις.

12.664 Τοῦ αὐτοῦ πρὸς τὰ ἐκ πληγῆς εἱλκωμένα καὶ τὰ καταγνύμενα τῶν ὤτων. Ἄρτου θερμοῦ τὸ ἐντὸς τρίψας μετὰ μέλιτος ἐπιτίθει. σμύρναν μετ’ οἴνου τρίψας παλαιοῦ ἐπίχριε. κοχλιῶν τοὺς τραχήλους τρίψας σὺν τοῖς ὀστράκοις καὶ σμύρνης μίξας τὸ ἥμισυ μέρος ἐπιτίθει. ἀψινθίου καὶ σελίνου σπέρματος τὸ ἴσον λεάνας μετὰ μέλιτος ἐπιτίθει. πίσσῃ περιχρίσας θεῖον λεῖον ἢ μάνναν ἐπίπασσε, μὴ ἐπίδει δὲ ταῦτα, μηδὲ πυκνὰς ποίει τὰς τῶν ἐπιθεμάτων ἀφαιρέσεις.

Περὶ παρωτίδων. Αἱ παρωτίδες ἐν τῷ γένει μέν εἰσι τῶν φλεγμονῶν. γίνονται δὲ τῶν παρὰ τοῖς ὠσὶν ἀδένων πασχόντων, οὐ μὴν χρώμεθά γε ἐπ’ αὐτῶν τῷ πρώτῳ μέρει τῆς τῶν φλεγμαινόντων μορίων θεραπείας. ἐπ’ ἐκείνων μὲν γὰρ ὡς τὸ πολὺ τῇ καλουμένῃ πρὸς τῶν ἰατρῶν ἀποκρουστικῇ καὶ ἀνασταλτικῇ θεραπείᾳ προσήκει χρῆσθαι, καὶ μάλισθ’

ὅταν μήτε κακόηθες ᾖ τὸ ἐπιρρέον μήτε πολὺ μήτε πληθωρικοῦ τοῦ σώματος ὑπάρχοντος. οὕτω γοῦν καὶ σπόγγος μόνος ἐπιτιθεὶς ἐξ ὀξυκράτου κατέστειλεν ἀρχομένας φλεγμονὰς, οὐδὲν ἐκ τούτου
12.665 παθόντος τοῦ παντὸς σώματος· ἐπὶ δὲ τῶν παρωτίδων αὐτὸ τοὐναντίον ἐργαζόμεθα φαρμάκοις ἑλκτικοῖς χρώμενοι, κᾄν μηδὲν ἀξιόλογον ἀνύῃ ταῦτα, καὶ σικύαν προσφέροντες ἢ πυρίαις χρώμενοι συχναῖς. βουλόμεθα γὰρ ἐκ τοῦ βάθους εἰς τὸ δέρμα τὸν λυποῦντα χυμὸν ἐπισπάσασθαι, καὶ μάλισθ’ ὅταν ἐν τῇ κεφαλῇ τὸ πάθος ἐστηριγμένον ὑπάρχῃ ἐστηριγμένων ἐν αὐτῇ χυμῶν, καὶ μέντοι κἀπειδὰν ἄνευ τοῦ πεπονθέναι τὴν κεφαλὴν ἐν πυρετοῖς ὀξέσιν ἡ φύσις ἀποτίθεται τοὺς περισσοὺς χυμοὺς ἐκ τῶν ἀγγείων ἐκχέουσα πρὸς τὴν μεταξὺ χώραν τοῦ δέρματός τε καὶ τῶν ὑποκειμένων σωμάτων, ἡνίκα καὶ οἱ ἀδένες ἀπολαύσουσι τῶν ἐκπιπτόντων χυμῶν, ἄμεινον εἶναι καὶ τότε δοκεῖ συνεργῆσαι τῇ φύσει, δι’ ἀποσκήμματος ἰωμένῃ τοὺς πυρετούς. ὅταν μέντοι σφοδρὰν ὁρμὴν ἔχῃ τὸ ἐπιρρέον, οὐδὲν ἡμεῖς προσπεριεργαζόμεθα τῇ φύσει τὸ πᾶν ἐπιτρέποντες. ἐὰν γὰρ ἤτοι σικύαν ἤτοι φάρμακον ἕλκον ἐκ τοῦ βάθους ἐπὶ τὸ δέρμα τοὺς χυμοὺς ἐπενέγκωμεν, ὀδύνη σφοδρὰ καταλαμβάνει τὸν ἄνθρωπον, ὡς δι’ αὐτὴν ἀγρυπνίας τε γίνεσθαι καὶ τοὺς πυρετοὺς
12.666 ἐπιγίγνεσθαι καὶ τὴν δύναμιν καταλύεσθαι. παρηγορεῖν οὖν τηνικαῦτα μᾶλλον, οὐ συμπράττειν τῇ ῥοπῇ τῶν χυμῶν προσήκει, καταπλάσμασι χρωμένους παρηγορικωτάτοις· οἷόν ἐστι τὸ διὰ σιτίνου ἢ κριθίνου ἢ λινοσπέρματος ἀλεύρου σὺν μελικράτῳ ἢ τήλεως ἢ ἀλθαίας ἢ χαμαιμήλων ἀποζέματι ἑψόμενον καὶ ὅσα πρὸς τῷ συμμέτρῳ τῆς ὑγρᾶς θερμότητος, ἐξ ἧς τὸ παρηγορεῖν ἔχει τὰς ὀδύνας, ἔτι καὶ πέττειν δύναται τοὺς ἐπιρρέοντας χυμοὺς καὶ διαπυΐσκειν, ὡς ἐν τῇ περὶ τῶν καταπλασμάτων διδασκαλίᾳ τὸν λόγον ἐποιούμεθα. εἰ δὲ καὶ πλεονάζον αἷμα φανείη σοι, προσκενωτέον αὐτὸ διὰ φλεβοτομίας ἐπιτρεπούσης μάλιστα τῆς δυνάμεως. νυνὶ δ’ ἐπὶ τὴν τῶν φαρμάκων σύνθεσιν, ἥτις ἐξ ἀρχῆς ἡμῖν πρόκειται μεταβάντες εἴπωμεν ᾧτινι λόγῳ τήν τε σύνθεσιν αὐτῶν καὶ τὴν χρῆσίν ἐστι ποιητέον. μὴ διαφορουμένου μὲν τοῦ ὄγκου τοῖς διαπυΐσκουσι χρηστέον φαρμάκοις, οἷόν ἐστι τὸ σίτινον ἄλευρον μετὰ ἰσχάδος ἀφεψήματος καὶ ἐλαίου τό τε διὰ γύρεως καὶ τὸ διὰ ζύμης
12.667 φάρμακον. ἐὰν δὲ ἐκπυΐσκωσιν αἱ παρωτίδες, ἤτοι διὰ τομῆς ἐκκρῖναι δεῖ

τὸ πῦον, ἐξιᾶσθαί τε χρὴ τὸ ἕλκος, ὡς ἐπὶ τῶν τοιούτων ὡμολόγηται πᾶσιν, ἢ δριμεῖ διαρρήξειν φαρμάκῳ, οἷόν ἐστι τὸ σμίλιον καὶ τὸ διὰ σκορόδων, ἢ πειρᾶσθαι διαφορεῖν αὐτὸ φαρμάκοις, ἑλκτικήν τε ἅμα καὶ λεπτομερῆ δύναμιν ἔχουσιν, ἀφαιροῦντας δὶς τῆς ἡμέρας αὐτὰ καὶ πυριῶντας μέχρις ἂν ἐνδῶσί τι καὶ χαλάσωσιν αἱ ὀδύναι, διαφορηθέντος τοῦ πλείονος πύου. τηνικαῦτα γὰρ ἤδη πρῶτον μὲν ἅπαξ λύειν καὶ πυριᾶν, εἶτα δὲ οὐδὲ τοῦτο συμφέρει πράττειν, ἀλλ᾽ ἐπιτρέπειν τοῖς φαρμάκοις, εἴ τι λείψανον ἐν βάθει περιέχεται, δυσφορεῖν τοῦτο, κἂν σκληρότης εἴη, μαλάττειν καὶ αὐτὴν, ὥστε κατὰ μὲν τὸν καιρὸν τοῦτον ἐκ μικτῆς δυνάμεως φαρμάκων ἡ σύνθεσις ἔσται τοῦ κατασκευαζομένου φαρμάκου τοῖς ἑλκτικοῖς τῶν μαλακτικῶν μιγνυμένων. ἐπειδὰν δὲ πᾶν μὲν ᾖ κεκενωμένον τὸ πῦον, ὑπολείπηται δέ τις σκληρότης, τοῖς καλουμένοις μαλακτικοῖς φαρμάκοις χρηστέον, ὧν τὴν ποικιλίαν τῆς
12.668 ὕλης τε καὶ τῆς συνθέσεως ἐν τῷ περὶ μαλαγμάτων ἐδήλωσα λόγῳ. πρόδηλον δ᾽ ὅτι τὰς μετρίας παρωτίδας, ἐφ᾽ ὧν οὔτε πλῆθός ἐστι τὸ κατασκῆψαν εἰς τὰ μόρια τοσοῦτον ὡς ὀδύνας σφοδρὰς ἐργάζεσθαι οὔτε θερμότης σύνεστι τῷ χυμῷ, ῥᾳδίως ἰᾶσθαι ταῦτα δυνατόν. οὔτε γὰρ σπεύδουσι πρὸς τὴν ἐκπύησιν, οὔτε ὀδύνην ἐπάγουσι σφοδρὰν, ἀλλ᾽ ἔξεστι τηνικαῦτα καὶ ταῖς πυρίαις χρῆσθαι δι᾽ ἅλμης καὶ καταπλάσματα θερμαντικώτερά τε καὶ διαφορητικώτερα προσφέρειν καὶ φάρμακα τῆς αὐτῆς ἐχόμενα δυνάμεως· ἀδιορίστως δὲ καὶ τὰ τῶν παρωτίδων φάρμακα γεγραφότων τῶν πλείστων ἰατρῶν, ἐάν τις τῶν νῦν εἰρημένων μεμνημένος ἐπὶ τὴν χρῆσιν αὐτῶν ἀφίκηται, συνήσει τίσιν ἐπὶ τίνων παρωτίδων χρηστέον. προγυμνάσω δὲ ὑμᾶς κἀγὼ διὰ παραδειγμάτων ὧν Ἀρχιγένης ἔγραψεν ἐν τῷ πρώτῳ τῶν κατὰ γένος φαρμάκων αὐτοῖς ὀνόμασιν ὡδί.

Ἀρχιγένους πρὸς παρωτίδας. Παρωτίδας διαλύεσθαι θέλοντες
12.669 καταπλάσσομεν συνεχῶς ἀρνογλώσσῳ λείῳ μετὰ ἁλῶν. ἢ αἰγείῳ κόπρῳ μετ᾽ ὄξους. ἢ λαπάθου ἀγρίου ῥίζαις ἑψημέναις ἐν οἴνῳ. ἢ σύκῳ λείῳ μετὰ χαλκάνθης. ἢ σύκῳ ἐφθῷ μετὰ ἀψινθίου καὶ οἴνου λελειωμένοις. ἢ κήρυκας καύσας θαλασσίους. ἢ πορφύρας ἀναλαβὼν μέλιτι ἢ ἀξουγγείῳ ἐπιτίθει καὶ εὐθέως διαφοροῦνται. τὸ δ᾽ αὐτὸ τοῦτο ποιεῖ καὶ ὀστρέου ὄστρακον καὲν καὶ μετὰ μέλιτος ἐπιτιθέμενον. ἢ κηρωτὴ ῥοδίνη ἢ

κυπρίνη, πηγάνῳ ἀναληφθεῖσα. ἢ θείῳ ἀπύρῳ συμμαλαχθεῖσα. ἢ κιμωλίαν μετ᾽ ὄξους. διαφορεῖ δὲ μάλιστα τὸ σῦκον ἐν θαλάσσῃ ἐψημένον. ἢ ἅλμῃ ἐπιτιθέμενον λεῖον. τὸ δ᾽ αὐτὸ τοῦτο ποιεῖ καὶ πράσιον λεῖον μεθ᾽ ἁλῶν καὶ ἔριον βουτύρῳ βαπτισθὲν καὶ ἐπιτεθὲν τὰς ἀρχομένας παρωτίδας ὠφελεῖ. ὥσπερ τούτῳ τῷ τελευταίῳ ῥηθέντι καλῶς προσέθηκεν ὁ Ἀρχιγένης τὸν διορισμὸν, εἰπὼν τὰς ἀρχομένας παρωτίδας ὠφελεῖσθαι ὑπὸ τοῦ βουτύρου, οὕτως ἐχρῆν αὐτὸν καὶ περὶ τῶν ἄλλων εἰρηκέναι τὸν καιρὸν, ὥσπερ ἐγὼ μικρὸν ἔμπροσθεν ἔπραξα καὶ κατ᾽ αὐτὸ δὲ τοῦτο τὸ βούτυρον οὐκ αὐτάρκης ὁ ἀπὸ μόνης διορισμὸς
12.670 τῆς ἀρχῆς, εἰ μὴ προστεθείη πότερον σφοδρῶς ἢ μαλακῶς ἐξορμᾶται. καὶ πότερον ὀδυνηρῶς, ὡς μετὰ σφυγμῶν καὶ ἀγρυπνιῶν ἐνοχλεῖν ἢ μετὰ μετρίας ὀδύνης, ἥτις τε τοῦ νοσήματός ἐστιν ἡ κατάστασις, ἆρά γε μεγάλης ἀποστάσεως δεομένη πάντως ἢ διὰ μικροτέρας κριθῆναι δυναμένη. τῇ τοιαύτῃ γὰρ ἀρκεῖ τὸ βούτυρον καὶ μάλιστα ἐπὶ μαλακῶν σωμάτων, εὐνούχων τε καὶ παίδων καὶ γυναικῶν καὶ τῶν ἁπαλοσάρκων. εἰ δὲ σὺν ὀδύνῃ σφοδρᾷ γένοιτο, καταπλάσματος ἀνωδύνου δεῖται μετὰ συνεχοῦς πυρίας ἤτοι δι᾽ ὕδατος μόνου γινομένης ἢ καὶ βραχυτάτων ἁλῶν ἐμβεβλημένων. ἐπεὶ δὲ πρῶτον πάντων ἔγραψε φάρμακον ἀρνόγλωσσον μεθ᾽ ἁλῶν, ἀπ᾽ ἐκείνου καὶ ἡμεῖς αὖθις ἀρξόμεθα τῆς ἀρνογλώσσου φύσεως ἀναμνησθέντες ἐκ μικτῶν δυνάμεων συγκειμένου, διαφορητικῆς τε καὶ ἀποκρουστικῆς. ἐγὼ δὲ οὐδέποτε ἀξιῶ τὰ ἀποκρουστικὰ μεμίχθαι τοῖς ὠφελοῦσι τὰς παρωτίδας φαρμάκοις, πλὴν εἴποτε ἂν σπανίως μικρὸν παμπόλλῳ τῷ διαφορητικῷ καὶ τούτῳ δηλονότι, χωρὶς ὀδύνης σφοδρᾶς ἐξορμώσης τῆς παρωτίδος. ὃ δ᾽ ἐφεξῆς
12.671 τούτῳ γέγραπται· κόπρος αἰγεία μετ᾽ ὄξους κεχρονισμένης καὶ σκιρρουμένης καὶ μηκέτι μηδὲ ἀξιόλογον ὀδύνην ἐχούσης παρωτίδος εἴη ἂν φάρμακον, ὥσπέρ γε καὶ σπληνὸς σκιρρουμένου. ὃ δὲ τρίτον ἐπ᾽ αὐτοῖς ἔγραψε· ῥίζας ἀγρίας λαπάθου μετ᾽ οἴνου ἐψημένας. εἰ καὶ τὴν ποιότητα καὶ τὸν χρόνον προσέθηκε τοῦ οἴνου τάχ᾽ ἂν ἐπεχείρησα καὶ αὐτὸ κρίνειν. ἐπεὶ δὲ οὐ προσέθηκε, παμπόλλῳ δὲ διαφέρει στρυφνὸν ἢ αὐστηρὸν ἢ δριμὺν ἢ γλυκὺν ἢ νέον ἢ παλαιὸν ἢ παχὺν ἢ λεπτὸν ἢ κιρρὸν ἢ λευκὸν ἢ μέλανα τὸν οἶνον εἶναι, διὰ τοῦτο κᾀγὼ λέγειν οὐδὲν ἔχω περὶ τοῦ γεγραμμένου φαρμάκου. γινώσκοντες δὲ ὑμεῖς ὅτι

διαφορητικώτερος μέν ἐστιν ὁ παλαιὸς, καὶ μάλιστα ἐὰν ᾖ τῶν φύσει θερμοτέρων, οἷοίπερ εἰσὶν οἱ κιρροὶ τοὐπίπαν. ἐναντίοι δὲ τούτῳ κατὰ δύναμιν ὅ τε αὐστηρὸς καὶ ὁ στρυφνός. δεῖ μὲν φυλάξασθαι τὸν τοιοῦτον οἶνον. ἐν δὲ κιρρῷ καὶ συμμέτρως παλαιῷ καὶ λεπτομερεῖ τὰς τοῦ λαπάθου ῥίζας ἑψήσαντες, ἐπὶ παρωτίδων χωρὶς ὀδύνης σφοδρᾶς γινομένων χρῆσθαι δυνήσεσθε. γράφει δ' ἐφεξῆς τῷδε· σῦκον λεῖον μετὰ
12.672 χαλκάνθου. διαφορητικῆς μὲν οὖν καὶ πεπτικῆς δυνάμεώς ἐστι τὸ σῦκον, εἰ μὲν ξηρὸν εἴη μάλιστα, πρόσφατον δὲ ὂν ἔχει μὲν τὸ διαφορητικὸν, οὐ μὴν πέπτειν γε δύναται. χάλκανθον δὲ ὅτι σφοδρότατόν ἐστι φάρμακον, ἰσχυρὰς ἀμφοτέρας ἔχον τὰς δυνάμεις, τήν τε ἀποκρουστικὴν καὶ διαφορητικὴν, οὐδεὶς ἀγνοεῖ, διὸ καὶ φυλακτέον αὐτοῦ τὴν σφοδρότητα. ἑφθῷ δὲ σύκῳ δηλονότι τῷ ξηρῷ, μετ' ἀψινθίου καὶ οἴνου λελεασμένοις ἀξιοῖ χρῆσθαι καὶ ἐχρησάμεθά γε αὐτῷ καὶ ἡμεῖς ἐν καιρῷ κατὰ τὰς μέσας μεγέθει τε καὶ χρόνῳ φλεγμονὰς, ὥσπερ γε καὶ τοῖς κεκαυμένοις κήρυξι καὶ πορφύραις καὶ ὀστρέοις, ἐπὶ τῶν ἤδη σκιρρουμένων καὶ χρονιζουσῶν, ἔστι γὰρ ἄλυπόν τε καὶ ἄδηκτον φάρμακον, οὐ μόνον εἰ μέλιτι δεύσειέ τις αὐτῶν τὴν σποδιὰν, ἀλλὰ καὶ πολὺ μᾶλλον εἰ παλαιὸν στέαρ ὑὸς ἄναλον ἐξινίσας μίξειεν. ἀλυπότατα γὰρ τοῦτο διαφορεῖ τὰς κεχρονισμένας ἁπάσας φλεγμονὰς, κἂν ἐκ ῥευματικῆς διαθέσεως ὦσιν. ἐφεξῆς δὲ κηρωτῇ ῥοδίνῃ καὶ κυπρίνῃ μετὰ πηγάνου κελεύει χρῆσθαι,
12.673 διαφορητικῷ μὲν φαρμάκῳ, σφοδρὸν δ' οὐδὲν οὐδὲ βίαιον ἔχοντι. βραχὺ δ' αὐτοῦ σφοδρότερον γίνεται τὸ σύνθετον φάρμακον, εἰ θεῖον ἄπυρον ἀντὶ τοῦ πηγάνου μίξαιμεν. ἡ δὲ ἐφεξῆς γεγραμμένη κιμωλία μετ' ὄξους οὔτε ἰσχυρᾶς οὔτε ὀδυνώδους οὔτε μεγάλης παρωτίδος ἐστὶν ἴαμα. τὸ δ' ἐν τῇ θαλάσσῃ σῦκον ἑψημένον ἐπὶ τῶν ἤδη σκιρρουμένων χρήσιμον ἂν εἴη διαφορητικὸν ὑπάρχον. ὡσαύτως δὲ καὶ εἰ τῆς θαλάσσης μὴ παρούσης ἅλμῃ τις χρήσαιτο. παραπλήσιον δὲ τούτῳ, καθάπερ καὶ ὁ Ἀρχιγένης ἔφη, καὶ τὸ πράσιόν ἐστι μεθ' ἁλῶν. ἐφεξῆς δὲ τούτων ἔγραψεν οὐ μικρὸν ἔμπροσθεν, ὑστάτου κατὰ τὴν ῥῆσιν οὕτως ἐμνημόνευσα, τοῦ βουτύρου καὶ μετ' αὐτὸ πάλιν ἐπὶ γενναῖον φάρμακον κατέβη. πύρεθρον λεῖον ἀναλαμβάνεσθαι σύκῳ κελεύων, εἶθ' ἑξῆς ἀσβέστῳ λείᾳ μετὰ μέλιτος χρῆσθαι προστάττει. καὶ μετὰ τοῦτο γαλῆς αἵματος καταχριομένου μέμνηται. περίεργα δ' ἡγούμενος εἶναι τὰ τοιαῦτα καὶ πενιχρὰν

ἀποφαίνοντα τὴν ἰατρικὴν, εἰ διὰ τῶν ἄλλων βοηθημάτων ἄνευ γαλῆς αἵματος ἀδυνατεῖ θεραπεῦσαι παρωτίδας, οὔτ᾽ ἐχρησάμην αὐτοῖς οὔτε
12.674 πεῖραν ἔσχον, ἀλλ᾽ οὐδὲ ἄλλος τις τῶν φίλων ἐπεχείρησε χρῆσθαι. τῷ δ᾽ ἐγκεφάλῳ καταχρίειν οἵῳ δήποτε μετρίων παρωτίδων ἐστὶν ἴαμα. τούτῳ δ᾽ ἐφεξῆς γράφει κατὰ λέξιν οὕτως. ὄξει ζεστῷ καταντλήσας ἢ σπόγγον ὀξάλμῃ βρέχων ἐπιτίθει. σκαπανέων δ᾽ ἂν εἴη τοῦτο καὶ θεριστῶν, οὐ πολιτικῶν σωμάτων βοήθημα. μετὰ τοῦτο δὲ δριμέος μέμνηται φαρμάκου τοῦ διὰ τῆς κεκαυμένης γαλῆς, ἧς τὴν σποδὸν ἐκέλευσεν ἀναλαμβάνεσθαι κηρωτῇ ἰρίνῃ. κατ᾽ ἐκεῖνον δὲ δηλονότι τὸν καιρὸν, ἡνίκα χρονίζει τε καὶ σκιρροῦται, τοῖς τοιούτοις δηλονότι φαρμάκοις χρηστέον. τὰ γάρ τοι πλεῖστα τῶν γεγραμμένων ὑπ᾽ αὐτοῦ τῶν χρονιζουσῶν δυσλύτως παρωτίδων ἐστὶν ἰάματα. διὰ τοῦτο καὶ προσέθηκε τῷ φαρμάκῳ τούτῳ τὸ δύνασθαι καὶ χοιράδα καλῶς ἰᾶσθαι. παρέγκειται δ᾽ ἀτάκτως μετὰ τοῦτο τοιάδε τις λέξις, ἥ τε συνεχὴς καταιόνησις τοῦ θερμοῦ καὶ ἡ συνεχὴς τῆς ὠμηλύσεως ἐπίθεσις, ὅπερ εἴτε καθ᾽ αὑτό τις ἀναγινώσκοι εἴτε καὶ τὴν τελευτὴν τῆς προτέρας ῥήσεως ἀρχὴν ταύτης τῆς λέξεως ποιοῖτο, κατ᾽ ἀμφότερα καλῶς εἴρηται.
12.675 δῆλον δὲ ἔσται προταξάντων ἡμῶν τὴν τελευτὴν τῆς πρὸ ταύτης ῥήσεως, ὥστε γενέσθαι τὸν ὅλον λόγον τοιοῦτον. θαυμαστῶς διαφορεῖ καὶ χοιράδας, πολλάκις καὶ παρωτίδας, ἥ τε συνεχὴς καταιόνησις τοῦ θερμοῦ καὶ ἡ συνεχὴς τῆς ὠμηλύσεως ἐπίθεσις. ψευδὲς γάρ ἐστι φανερῶς τὸ φάναι τὸ διαφορεῖσθαι θαυμαστῶς τὰς χοιράδας καὶ τὰς παρωτίδας ἐκ τῆς συνεχοῦς καταιονήσεως τοῦ θερμοῦ καὶ τῆς συνεχοῦς ἐπιθέσεως τῆς ὠμηλύσεως. εἰ δέ γε περὶ τῶν παρωτίδων μόνον λέγοιτο ὁ διορισμὸς, λείψει τῇ λέξει, διδάσκων ἡμᾶς ἐπὶ τίνων καὶ ὁποίων παρωτίδων καταιόνησις ὕδατος θερμοῦ καὶ συνεχὴς ὠμηλύσεως ἐπίθεσις ἁρμόττει. οὐ γὰρ ἐπὶ πάσης γε, ἀλλ᾽ ἣν ἐθέλωμεν ἐκπυῆσαι τάχιστα, καθάπερ ἐν τῷ πρόσθεν λόγῳ διῆλθον. τοῦτο μὲν οὖν ὡς ἔφην παράκειται μοχθηρῶς· ἐπὶ δὲ τὰ συνεχῆ μεταβὰς ὁ Ἀρχιγένης αὖθις γράφει φάρμακα, μὴ προσθεὶς μὲν ὅτι τῶν σκληρυνομένων καὶ χρονιζουσῶν παρωτίδων ἐστὶν ἀλεξητήρια, γινωσκόντων δὲ ἡμῶν ἐκ τῆς ὕλης ἐκείνων ὑπάρχειν αὐτά. παραγράψω δ᾽ ὑμῖν ἤδη καὶ τὴν αὐτοῦ τοῦ Ἀρχιγένους λέξιν ἔχουσαν
12.676 οὕτω. ἰδίως δὲ θέρμους πικροὺς ἀληλεσμένους ἐψήσας μετὰ μέλιτος,

ὀλίγην ἄσβεστον πρόσμιξον καὶ κατάπλασσε. διαφορεῖ δὲ καὶ τοῦτο ἄκρως. πίσσης βρυτίας, μάννης, λιβάνου ἴσον, τερμινθίνης, φοινίκων συριακῶν μὴ παλαιῶν, λιπαρῶν τῆς σαρκὸς καθαρᾶς, ἑκάστου τὸ διπλοῦν, χαλβάνης ὡς ἥμισυ τῆς μάννης ἑνώσας εὖ χρῶ. ἐὰν δὲ ᾖ σκληρὰ, ῥητίνην πρόσμισγε. ἢ νίτρου καὶ σινωπίδος τὸ τρίτον μετὰ κυπρίνου γλοιῶδες ποιῶν ἔμπλασσε καὶ ἐπιτίθει. ἢ ἄσβεστον μετὰ γλοιοῦ ὁμοίως. ἢ ἰσχάδα, χαλβάνην, νίτρον ἴσα, θείου τὸ τρίτον, τερμινθίνης, ὀποπάνακος ἀνὰ ἐλάχιστον ἑνώσας χρῶ. ἢ ἄσβεστον μετ᾽ ὄξους λείου καὶ ἐπιτίθει. εἰ δὲ μηδ᾽ ἐπὶ τούτοις διαφοροῖντο, συνεργητέον τῇ μεταβολῇ εἰς πῦον, καταπλάσσοντας πυκνῶς θερμῇ τῇ ὠμηλύσει. εἶτα πάλιν διαφορητέον διά τε καταντλήσεως πολλῆς ἢ δάφνης ἢ δαφνίδος ἀφεψήματι καταντλοῦντας, ἢ θεῖον ἤ τι τοιοῦτον ἐμπάσσοντας εἰς τὸ ὕδωρ ἢ καὶ νίτρον ἢ περιστερᾶς κόπρον αὐτῇ μιγνύντας. ἢ καὶ σικύαν
12.677 προσκολλητέον μετὰ ἀμύξεως. εἶτα ἐπὶ τὴν χειρουργίαν ἰτέον καὶ ὠμοτομητέον. κράτιστον γὰρ ἐπὶ τούτων τὸ τάχιστα εἰς τὰ ἐκτὸς τὸν ῥευματισμὸν ἐπισπᾶσθαι. ταῦτα μὲν ὁ Ἀρχιγένης ἔγραψεν. εἰσὶ δὲ καὶ ἔμπλαστροι πολλαὶ, διαφοροῦσαι παρωτίδας, αἱ μέν τινες τὰς ἤδη σκιρρουμένας καὶ κεχρονισμένας, αἱ δὲ τὰς πεπαυμένας μὲν τῆς ὀδύνης, οὐδεμίαν δὲ ὑπόφασιν ἐχούσας πύου, καθάπερ γε καὶ τὰς ἤδη διαπυϊσκομένας ἐκθεραπεύουσαι. γεγραμμέναι δέ εἰσι μετὰ τῆς ἰδίας ἐπαγγελίας ἐν ταῖς ἐμπλάστροις ταῖς διαφορητικαῖς αἱ τοιαῦται· καθάπερ γε καὶ αἵδε τὰς ἁπλᾶς παρωτίδας ἐκθεραπεύουσαι χαλαστικαὶ καλούμεναι πᾶσίν εἰσι γνώριμοι. παραδείγματα αὐτῶν ἥ τε Μνασέου καὶ ἡ διὰ χυλῶν καὶ ἡ διὰ πτισάνης, καὶ τούτων ἔτι μαλακώτεραι αἱ κηρωτοειδεῖς, αἵ τε διὰ τοῦ βουτύρου καὶ αἱ διὰ τοῦ οἰσύπου προσλαμβάνουσαι ὀστρέων κεκαυμένων ἢ κηρύκων ἢ πορφυρῶν, οἵαπερ ἐστὶν αὕτη. στέατος χοιρείου παλαιοῦ ἀνάλου πάντων ἀνὰ γο γ . βουτύρου γο α . κηροῦ γο β . ὀστρέων κεκαυμένων λειοτάτων γο
12.678 β . τὰ τηκτὰ τήξας, ἐπίπασσε τὰ ὄστρεα. καὶ ἑνώσας χρῶ θαρρῶν ὡς ἐνεργέστατα πρὸς παρωτίδας.

Περὶ τῶν ἐν τῇ ῥινὶ παθῶν. Ἐκ μὲν τοῦ γένους τῶν παρὰ φύσιν ὄγκων οἱ πολύποδες ἐν ταῖς ῥισὶ γεννῶνται· κατὰ δὲ τὸ τῶν ἑλκώσεων αἱ ὄζαιναι· κατὰ δὲ τὸ τῶν παρὰ φύσιν ἐκκρίσεων αἱ αἱμορραγίαι γινόμεναι ταῖς

ὀξέως νοσοῦσι, κατὰ τὰς καλουμένας ἰδίως παρὰ τοῖς νεωτέροις ἰατροῖς ὑπερεκκρίσεις, ἐν αἷς ἡ φύσις ἐπὶ κριτικὸν ὁρμήσασα βοήθημα τῆς συμμετρίας οὐκ ἐκράτησε. πρῶτον οὖν τῶν ὀζαινῶν ποιήσομαι τὸν λόγον, ἐξ ἐπιρροῆς ὑγρῶν δριμέων καὶ σηπεδονωδῶν γινομένων, ὡς ἐάν γε μόνον ᾖ δριμέα, δυσίατα μὲν ἕλκη ποιεῖν πέφυκεν, οὐ μὴν ὄζοντα μοχθηρῶς. ἡ δὲ θεραπεία κοινὴ μὲν ἀμφοῖν τε τούτοιν καὶ τοῦ πολύπου ξηρᾶναι τὸ πρῶτον, καὶ ῥῶσαι τὴν κεφαλήν. εὔδηλον γὰρ ὅτι διὰ περιουσίαν ὑγρῶν μοχθηρῶν ἐπιρρεῖ τι ταῖς ῥισὶν ἐξ αὐτῆς. ὅπως δὲ χρὴ ῥωννύναι τὴν κεφαλὴν ὅλην, ὡς μηδὲν ἐξ αὐτῆς περίττωμα τοῖς κάτω
12.679 μέρεσιν ἐπιρρεῖν, εἴρηται πολλάκις. ὅταν οὖν δι᾽ ἐκείνων παρασκευάσῃς τὴν κεφαλὴν ἐρρωμένην, ἐπὶ τὴν τῆς ῥινὸς ἀφίξῃ θεραπείαν, ἐν ταῖς ὀζαίναις σκοπὸν ἔχων ξηρᾶναι τὸ πεπονθὸς μόριον διὰ φαρμάκων μικτῆς δυνάμεως, ἀποκρουομένων τε καὶ διαφορούντων. ἀποκρούεται μὲν οὖν δηλονότι τά τε αὐστηρὰ καὶ στρυφνὰ κοινῇ προσηγορίᾳ κεχρημένα τῇ τῶν στυφόντων. διαφορεῖ δὲ τὰ θερμὰ καὶ ξηρὰ ταῖς δυνάμεσιν, ὧν ἡ ὕλη τοιάδε ἐστίν.

Ἀρχιγένους φάρμακα πρὸς ὀζαίνας. Ὀζαίνης δ᾽ οὔσης ἐν ταῖς ῥισὶ, καλαμίνθης χυλὸν ἐγχυμάτιζε. ἢ αὐτὴν ξηρὰν τὴν καλαμίνθην ἐμφύσα διὰ σίφωνος. ἢ ἐλλέβορον λευκὸν μετὰ σπέρματος καρδάμου χήμης ἐμφύσα καθ᾽ ἡμέραν. μετὰ δὲ τοῦτο τὴν κεφαλὴν κατάντλει. διάχριε δ᾽ αὐτοὺς ἢ χαλκίτιδι ἢ χαλκάνθῳ ἢ ψορικῷ μετὰ μέλιτος ἢ μέλι ἐνστάξας τὴν εἰς ῥῖνα καὶ διασήσας πταρμικῷ τὰς ἐφελκίδας ἐκτίναξον, εἶτα τὸ προγεγραμμένον διὰ τοῦ καρδάμου καὶ τοῦ ἐλλεβόρου φάρμακον ἀνασπᾷν ποίει τῇ ῥινὶ ὡς πλεῖστον καὶ μετὰ τοῦτο διάχριε ἀμόργῃ μετὰ
12.680 μέλιτος. ἢ σμύρνην καὶ κάρδαμον μετὰ μέλιτος. ἢ βατραχίου χυλὸν μετὰ στυπτηρίας ὑγρᾶς ἐγχυμάτιζε εἰς τὴν ῥῖνα, ὕπτιον κατακλίνας, καὶ κέλευε ἀνασπᾷν, μέχρις οὗ εἰς τὸ στόμα διέλθῃ, καὶ τοῦτο ποίει μέχρις ἂν ἀποθεραπεύσῃς. ἐὰν δὲ ᾖ παλαιὰ καὶ ὄζος παλαιὸν πρόσμισγε ἢ θεῖον λεῖον, καὶ δριμὺ ὄξος εἰς στενόστομον ἀγγεῖον βαλὼν, προστίθει τῇ ἀναπνοῇ αὐτῶν ἐφ᾽ ἱκανὸν, εἶτα μίσυος κυπρίου καὶ νάρδου Ἰνδικῆς τὸ ἥμισυ μετὰ χίου οἴνου λεάνας, μέχρι μελιτῶδες γένηται, πτερῷ διάχριε τοὺς πόρους καὶ ἐρίῳ ἔμφρασσε.

Πρὸς τὰ ἐν τοῖς μυκτῆρσιν ἕλκη. Τὰ δὲ ἐν τοῖς μυκτῆρσιν ἕλκη, ῥοιῶν χυλὸν ἐν χαλκῷ ἀγγείῳ ἑψήσας μέχρι ἡμίσους διάχριε. ἢ ῥόαν γλυκεῖαν ὅλην ἐν οἴνῳ ἑψήσας λέανον καὶ ἔξωθεν κατάπλασον. ἢ λευκοΐῳ μεθ' ὕδατος διάψα. ἢ βάτου χυλὸν καὶ στυπτηρίαν, λεῖα διεὶς μεθ' ὕδατος. ἐὰν δὲ ᾖ παλαιὸν, μετ' ὄξους. ἢ ἴριδι καὶ σανδαράχῃ μετὰ μέλιτος. ἢ στέατι μοσχείῳ καὶ ῥητίνῃ διάχριε.

12.681 Περὶ τοῦ κατὰ τὰς ῥῖνας πολύποδος. Ὄγκος ἐστὶ παρὰ φύσιν ἐν ταῖς ῥισὶ γεννώμενος, ἐοικὼς κατὰ τὴν τῆς οὐσίας ἰδιότητα τῇ τοῦ πολύποδος σαρκί. πρόδηλον οὖν ὅτι παχέων καὶ γλίσχρων χυμῶν ἔγγονόν ἐστι τὸ πάθημα καὶ διὰ τοῦτο μικτῆς ὕλης δεόμενον, ὡς τὸ μέν τι στύφειν αὐτῆς δύνασθαι, τὸ δὲ τέμνειν καὶ λεπτύνειν, τὸ δὲ διαφορεῖν καὶ παχύνειν. Ἀρχιγένους πρὸς πολύποδας. ἐπὶ δὲ πολύποδος. ⳨ καρδάμου λεπτοῦ χήμην ἤτοι ‹ ′′. σὺν ἐλλεβόρου λευκοῦ ὀβολοῖς δύο, λεῖα κέλευε τῇ ῥινὶ ἀνασπᾷν. ὅταν δὲ ἐκπέσῃ, μοτοῖς σὺν τῇ ἀνθηρᾷ διὰ μέλιτος χρῶ ἢ λυκίῳ ὁμοίως. Ἀσκληπιάδου πρὸς ὀζαίνας καὶ πολύποδας. ἐν μὲν τῷ πέμπτῳ τῶν ἐκτὸς οὕτως ἔγραψεν ὁ Ἀσκληπιάδης. ξηρὸν πρὸς ὀζαίνας. ⳨ στυπτηρίας σχιστῆς ‹ δ′. σμύρνης ‹ δ′. σανδαράχης ‹ δ′. κηκίδος ‹ α′. χαλκάνθου κεκαυμένης ‹ α′. λείοις χρῶ, πρότερον ἐκκλύζων τοὺς μυκτῆρας οἴνῳ εὐώδει, καὶ τότε παραπτόμενος πυρῆνι μήλης. ἄλλο. ⳨ ἐρείκης καρποῦ ‹ η′. σμύρνης ‹ η′. νίτρου ἐρυθροῦ ‹ η′. σιδίων ‹ η′.

12.682 μυρίκης καρποῦ ‹ α′. κροκομάγματος ‹ β′. λείοις χρῶ. ἄλλο. ⳨ σώρεως Αἰγυπτίου εὐθρύπτου ‹ β′. χαλκίτεως ὀπτῆς ‹ β′. μυρίκης καρποῦ ‹ α′. κρόκου ‹ α′. σμύρνης ‹ α′. λείοις χρῶ. ἄλλο. ⳨ χαλκίτεως ὀπτῆς ‹ β′. χαλκάνθου ὀπτῆς ‹ β′. μίσυος ‹ β′. ἀμώμου ‹ α′. σμύρνης ‹ δ′. κρόκου ‹ α′. λείοις χρῶ. ἄλλη σύνθεσις ξανθίζουσα λεγομένη. ⳨ στυπτηρίας σχιστῆς ‹ η′. χαλκίτεως ὠμῆς ‹ στ′. σανδαράχης ‹ γ′. σιδίων ῥοιᾶς ‹ β′. χαλκάνθου κεκαυμένου ‹ β′. μίσυος ‹ β′. λείοις χρῶ. ἄλλο. ⳨ χαλκάνθου κεκαυμένου ‹ δ′. διφρυγοῦς ‹ β′. ἀσβέστου ‹ β′. σανδαράχης ‹ β′. ξηροῖς παράπτου. ἢ στρεπτῷ προβρέχων ὕδατι καὶ μολύνων τὸ φάρμακον. ἄλλο. ⳨ μίσυος ὀπτοῦ ‹ β′. μάννης λιβάνου ‹ β′. χαλκίτεως ὀπτῆς ‹ β′. λεπίδος χαλκοῦ ‹ α′ ′′. ἰοῦ ‹ α′. ξηροῖς παράπτου.

Λάμπωνος πρὸς ὀζαίνας καὶ αἰγίλωπας καὶ πολύποδας καὶ ἄλλα πολλά. Πρὸς ὀζαίνας καὶ αἰγίλωπας καὶ πολύποδας καὶ ὅσα βούλει χωρὶς τομῆς καὶ καύσεως ἀπαλλάττειν. ἀφίστησι δὲ καὶ ὀστᾶ διεφθορότα, ποιεῖ δὲ καὶ
12.683 πρὸς νομὰς καὶ σηπεδόνας ἐπιπασσομένη καὶ πρὸς τὰ ῥυπαρὰ ἕλκη, ἐν μοτῷ μετὰ μέλιτος. ⁋ χαλκοῦ ἐρυθροῦ ῥινήματα γο α′. ἁλῶν ἀμμωνιακῶν γο β′. ἀμμωνιακοῦ θυμιάματος γο β′. στυπτηρίας στρογγύλης γο γ′. ὄξους δριμυτάτου κο στ′. τὰ ξηρὰ λειώσας καὶ ἐπιβαλὼν ὄξος, ἀναλάμβανε εἰς ἄγγος ἐρυθροῦ χαλκοῦ καὶ κίνει ἐν ἡλίῳ κερκίδι ἐρυθροῦ χαλκοῦ, ἐν τοῖς ὑπὸ κύνα καύμασιν, ἕως ἂν ξηρανθῇ τὸ φάρμακον, εἶτα κατεράσας εἰς θυΐαν καὶ τρίψας ἐπιμελῶς ἀνελοῦ εἰς ἄγγος κεραμεοῦν. ἐπὶ δὲ τῆς χρήσεως δίδου ὕδωρ ἀναρροφῆσαι, εἶτα ἐν τῷ στόματι κατέχειν, τὸ δὲ φάρμακον ἐμφύσα διὰ συριγγίου. Σκριβωνίου Λάργου, ποιεῖ πρὸς πᾶσαν ἐξοχήν. ⁋ μίσυος κεκαυμένης, χαλκίτεως κεκαυμένης, χαλκάνθης κεκαυμένης, σώρεως, λεπίδος χαλκοῦ ἀνὰ ‹ η′. ξηρῷ παράπτου. δεῖ δὲ προαναπαύειν πρὸ μιᾶς ἡμέρας καὶ τῇ ἐπιούσῃ τὸ φάρμακον ἐπιτιθέναι μετὰ τὴν τροφήν. πρότερον δὲ δεῖ ὑποχρῖσαι τοὺς μυκτῆρας ἀσφάλτῳ ἢ πίσσῃ ὑγρᾷ ἢ σμύρνης στακτῇ.

12.684 Φιλοξένου χειρουργοῦ πρὸς πολύποδας, ὀζαίνας, πᾶν ὑπερσάρκωμα, αἱμορροΐδας καὶ ἐὰν βούλῃ ἐσχαρῶσαι. ⁋ Χαλκοῦ κεκαυμένου ἀρσενικοῦ πεφυρμένου, μίσυος ὀπτοῦ ἀνὰ ‹ β′. διφρυγοῦς ‹ γ′. χαλκίτεως κεκαυμένης, χαλκάνθης κεκαυμένης, λεπίδος χαλκοῦ ἀνὰ ‹ δ′. λείοις χρῶ μετὰ δὲ τὴν τῶν φαρμάκων ἐπίθεσιν χρώμεθα πταρμικοῖς τὰς ἐφελκίδας βουλόμενοι σαλεύειν, αἳ ἐκπίπτουσι διὰ τριῶν ἢ τεσσάρων. καὶ μετὰ τὸ ἐκπεσεῖν ἀποθεραπεύονται στέατι χηνείῳ καὶ βουτύρῳ μετὰ κηρωτῆς ῥοδίνης. ἐν δὲ τῷ πρώτῳ τῶν ἐκτὸς φαρμάκων οὕτως ἔγραψεν ὁ Ἀσκληπιάδης. Ἀσκληπιάδου πρὸς ὀζαίνας, ᾧ ἐχρήσατο Μέγης. ⁋ ἐρείκης καρποῦ ‹ δ′. σμύρνης ‹ δ′. νίτρου ἐρυθροῦ ‹ δ′. σιδίων ῥοιᾶς ‹ δ′. κρόκου ‹ β′. κόστου ‹ β′. λείοις ἐμφύσα. ἄλλο. στυπτηρίας σχιστῆς ‹ δ′. σμύρνης ‹ δ′. σανδαράχης ‹ β′. ῥοῦ ἐρυθροῦ ‹ β′. ἁλῶν ὀρυκτῶν ‹ β′. κρόκου ‹ β′. κόστου ‹ β′. λείοις ἐμφύσα. πρὸ δὲ τῆς θεραπείας, ἐκκλύζειν τοὺς μυκτῆρας πειρώμεθα οἴνῳ εὐώδει καὶ μέλιτι καλῷ. πρὸς τὰ ἐν μυκτῆρσι πολύποδα, ᾧ ἐχρήσατο Ἀντίπατρος. ⁋ χαλκοῦ κεκαυμένου ‹ δ′.
12.685 μίλτου σινωπίδος ‹ α′. λείοις ἐμφύσα διὰ καλαμίδος, ἀλλὰ καὶ παράπτου

πυρῆνι μήλης. ἄλλο Ἀντωνίου Μούσα. ⳨ χαλκάνθου μέρος α′. σανδαράχης μέρος α′. λείοις ἐμφύσα. ἄλλο Χαριξένους μετὰ χειρουργίαν. ⳨ κέρατος ἐλαφείου κεκαυμένου ‹ δ′. λεπίδος ἐρυθρᾶς ‹ δ′. ἀρσενικοῦ ‹ α′. λείοις ἐμφύσα. ἄλλο. ⳨ βρυωνίας ῥίζης κεκαυμένης ‹ δ′. χαλκάνθης ‹ δ′. ἀφρονίτρου ‹ δ′. ἐλατηρίου ‹ δ′. λείοις ἐμφύσα.

Πρὸς τὰ ἐν μυκτῆρσιν ἕλκη. ⳨ Μολύβδου σκωρίας, οἴνου παλαιοῦ, ἐλαίου μυρσίνου, ἑκάστου τὸ ἴσον. τὴν σκωρίαν τοῦ μολύβδου λειοτρίβει, ὥστε λειοτάτην γενέσθαι, καὶ ταύτῃ ἐπιβάλλων τὸν οἶνον λειοτρίβει. ἔπειτα τὸ μύρσινον καὶ πάντα ὁμοῦ μίξας καὶ ἀνακόψας βαλὼν εἰς ἄγγος κεραμεοῦν τίθει ἐπ᾽ ἀνθράκων κινῶν συνεχῶς καὶ ὅταν γλοιῶδες γένηται τὸ φάρμακον, ἀνελόμενος εἰς πυξίδα μολυβδίνην φύλαττε. ἄλλο. ⳨ μολύβδου κεκαυμένου καὶ πεπλυμμένου ‹ η′. οἴνου ῥοδίνου τὸ αὔταρκες, ἐλαίου μυρσίνου ὅσον ἐξαρκεῖ σκεύαζε καὶ χρῶ καθὼς ἄνω προείρηται. ἄλλο. ⳨ λιθαργύρου ‹ στ′. ψιμμυθίου ‹ η′. σιδίων ‹ δ′.
12.686 στυπτηρίας σχιστῆς ‹ δ′. οἴνου Ἀμιναίου ὅσον ἐξαρκεῖ, ἐλαίου μυρσίνου τὸ αὔταρκες. τὰ ξηρὰ κόψας καὶ σήσας καὶ εἰς θυΐαν βαλὼν λέαινε μετ᾽ οἴνου, ὥστε γλοιοῦ ἔχειν τὸ πάχος. μετὰ δὲ ταῦτα ἐπίβαλλε τὸ μύρσινον καὶ ἀνακόψας καὶ ἀνελόμενος εἰς πυξίδα μολυβδίνην χρῶ καθὼς προείρηται. ἔστω δὲ τοῦ μὲν μυρσίνου κοτύλαι τέσσαρες, τοῦ δὲ οἴνου κύαθοι δ′. Διογένους φάρμακον ἐπιτετευγμένον. ⳨ στέατος χηνείου ‹ δ′. οἰσύπου ‹ α′ ′′. μυελοῦ ἐλαφείου ‹ β′. κηροῦ Τυρρηνικοῦ ‹ η′. μολύβδου κεκαυμένου καὶ πεπλυμμένου ‹ δ′. στίμμεως κεκαυμένου καὶ πεπλυμμένου ‹ η′. λαδάνου ‹ β′. στέατος μοσχείου ‹ β′. τερμινθίνης ‹ δ′. ψιμμυθίου ‹ β′. λιθαργύρου ‹ α′. ῥοδίνου τὸ αὔταρκες. τὰ τηκτὰ κατὰ τῶν ξηρῶν καὶ ἀνελόμενος χρῶ, ἐν δὲ τῇ χρήσει αἴρων ὅσον ἐξαρκεῖ καὶ ῥοδίνῳ διαλύων ὑπόχριε τοὺς μυκτῆρας.

Ἀπολλωνίου πρὸς τὰς ἐν μυκτῆρσι διαθέσεις ἐκ τοῦ πρώτου τῶν εὐπορίστων. Πρὸς τὰς ἐν μυκτῆρσιν ἑλκώσεις καὶ σηπεδόνας καὶ ὀσμάς· ῥοιᾶς ἀπυρήνου γλυκείας καὶ ὀξείας χυλὸν ἑψήσας ἐν χαλκῷ ἀγγείῳ
12.687 μέχρι λειφθῇ τὰ δύο μέρη χρῶ, διαχρίων ἐσωτάτω. ποιεῖ δὲ καὶ ῥοιὰ γλυκεῖα μετ᾽ οἴνου ἑψηθεῖσα καὶ λειανθεῖσα καὶ ἔξωθεν καταπλασσομένη καὶ ἔσωθεν διαχριομένη.

Πρὸς σαρκώματα ἐν μυκτῆρσι καὶ πολύποδας. Διφρυγεῖ λείῳ προσάπτου καὶ μοτῷ διάστελλε τοὺς μυκτῆρας. ἄλλο. ἐλλέβορον τρίψας μῖξον ὀρίγανον ἴσην λείαν, καὶ ἐμφύσα εἰς τοὺς μυκτῆρας δὶς τῆς ἡμέρας. ἄλλο. ἐλλέβορον μέλανα καὶ σανδαράχην ἴσην τρίψας καὶ μίξας ἔλαιον, ἀναλαβὼν ἐρίῳ, πλήρωσον τὸν μυκτῆρα. ἄλλο χαλκοῦ ἄνθος καὶ ἰὸν καὶ ὀπὸν σιλφίου ἐξ ἴσου τρίψας ἐλαίῳ μίξον καὶ πάχος ὑπαλείπτου ποιήσας ὑπάλειφε μέχρι πέντε ἡμερῶν, ἔπειτα λαβιδίῳ ἐξαίρει. ἄλλο. ἀρσενικὸν καὶ τιτάνην τρίψας, μήλῃ προσάπτου δαψιλεῖ χρώμενος τῷ φαρμάκῳ, ἐπειδὰν δὲ ἐξοιδήσῃ καὶ ἐπαρθῇ, ἐλλεβόρῳ μέλανι ξηρῷ λείῳ συμμέτρως χρῶ. ἐν ἡμέραις γὰρ ἑπτὰ ταῖς πλείσταις κενὸς ὁ μυκτὴρ γίνεται, εἶτα προκάθαιρε διφρυγεῖ λείῳ μετὰ μέλιτος χρώμενος. ἄλλο. ἀρσενικὸν καὶ τίτανον καὶ ἐλλέβορον λευκὸν λεάνας μήλῃ προσάπτου.

12.688 Πρὸς τὰ ἐμπίπτοντα εἰς τοὺς μυκτῆρας. Τὰ δὲ ἐμπίπτοντα εἰς τοὺς μυκτῆρας ἔξαιρε ὠτογλυφίδι ἢ λαβίδι ἢ πταρμικὸν πρόσφερε φάρμακον καὶ τὸ στόμα καταλάμβανε καὶ τὸν ἕτερον τῶν μυκτήρων προσπίεζε, ἐάν περ μὴ ἐν ἀμφοτέροις τοῖς μυκτῆρσι τὸ πάθος ὑπάρχῃ. ταῦτα μὲν καὶ τὰ τοῦ Ἀπολλωνίου οἷς αὐτὸς ἐχρήσατο. ὡς δ’ ἐγὼ κέχρημαι καὶ ἐπὶ τῶν ἐν ταῖς ῥισὶ πολυπύδων τε καὶ ὀζαινῶν εὗρον εὐδοκιμώτατα τὰ ὑπογεγραμμένα, πρῶτον μὲν τὸ διὰ τῶν ῥοιῶν. ἔστωσαν δὲ ἴσαι τόν τε ἀριθμὸν καὶ τὸ μέγεθος, ἐκ τῶν τριῶν διαφορῶν λαμβανόμεναι. αἱ μὲν γὰρ αὐτῶν εἰσιν αὐστηραὶ, τινὲς δὲ γλυκεῖαι, τινὲς δὲ ὀξεῖαι. κόπτειν οὖν αὐτὰς προσφάτους καὶ πεπείρους καὶ συνθλᾷν ὅλας ἀκριβῶς, ὡς ἐκθλιβῆναι δύνασθαι τὸν ἐξ αὐτῶν χυλὸν, ὃν χρὴ καταθέμενον ἐν ἀγγείῳ κασσιτερίνῳ φυλάττειν, ἐπ’ ὀλίγον ἀφεψήσαντα εἴ ποτε φαίνοιτο τοῦ δέοντος ὑγρότερον, τὸ δὲ ὑπολειπόμενον αὐτῶν στερεὸν καὶ παχὺ κόπτειν αὖθις ἀκριβῶς, ὡς δύνασθαι μετὰ τὸ κοπῆναι λειωθῆναι πάλιν
12.689 εἰς θυΐαν καὶ ἀναπλασθῆναι κολλυρίοις ὅμοια, συμμέτρως ἔχοντα πρὸς τὴν ῥῖνα τοῦ θεραπευομένου. καθίεται γὰρ εἰς τὸν πόρον τῆς ῥινὸς, ἐν ᾧ ὁ πολύπους, ὥστε ἄνευ δήξεως καὶ συμπαθείας, ὁποῖον ἐργάζεται τὰ δριμέα τῶν φαρμάκων, ἐν χρόνῳ πλείονι καθαίρειν αὐτόν. ἐὰν δὲ ὑγρότερος καὶ μαλακώτερος ὁ πολύπους σοι φαίνηται, πλεῖον ἐμβάλλῃς τῶν αὐστηρῶν ῥοιῶν, εἰ δὲ σκληρότερος, τῶν ὀξειῶν. ἐπεὶ δὲ δύσφορόν ἐστιν ἀνέχεσθαι διὰ παντὸς τοῦ κολλυρίου, διαπαύειν προσήκει,

χρώμενον ἐν αἷς οὐκ ἐντίθεται αὐτὸ τῷ τεθλιμμένῳ χυλῷ, καὶ μέντοι καὶ χαίνοντα μέγα τὸν πεπονθότα διαχρίειν κατ᾽ ἐκεῖνα τὰ μέρη, καθ᾽ ἃ συντέτρηται ἡ ῥὶς πρὸς τὸν οὐρανίσκον, τῷ ὑγρῷ φαρμάκῳ ἐκθλιβέντι χρώμενον, ἢ πτεροῖς ἢ ἐρίῳ περιβεβλημένῳ μήλῃ ἢ πυρῆνι. τῶν δὲ ξηρῶν φαρμάκων ἀδήκτως οἶδά ποτε τῷ διφρυγεῖ δαπανηθέντα χρόνῳ πλείονι πολύπουν. εὐδοκιμεῖ δὲ ἐπ᾽ αὐτῶν καὶ τὸ προειρημένον κολλύριον, τὸ ἐκ τῶν ῥοιῶν ἀναπλαττόμενον, ὅταν ξηρὸν γένηται καλῶς
12.690 κοπτόμενόν τε καὶ διαττώμενον καὶ λειούμενον, εἶτ᾽ ἐμφυσώμενον ἢ καὶ διὰ πυρῆνος μήλης ἐντιθέμενον. ἅπαντα δὲ ταῦτα συνεχῶς δεῖ ποιεῖν, ὡς μηδέποτε λείπειν τὸ φάρμακον τῷ πεπονθότι μορίῳ, ῥᾳδίως γὰρ ὑπὸ τῆς ὑγρότητος ἐκκλύζεται. καθάπερ οὖν ἐπὶ τῶν ὀφθαλμιώντων, οὕτω κἀπὶ τούτων, εἰ οἷόν τε, διὰ παντὸς ἐπιτιθέναι χρὴ τὸ φάρμακον, ἀποπλύνεται γὰρ ῥᾳδίως, ὡς ἔφην, ὑπὸ τῆς ἐπιρρεούσης ὑγρότητος. μὴ φέροντος δέ τινος εὐνούχου μηδενὸς τῶν φαρμάκων τὴν προσφορὰν, ἀλλ᾽ ὑπὸ πάντων ἐρεθιζομένου, ῥόδα ξηρὰ κόψας καὶ λειώσας ἀκριβῶς καὶ ἐπιθεὶς ἀδήκτως τε ἅμα καὶ θαυμαστῶς, ὅπως ἔγνων ὑπ᾽ αὐτῶν ὠφεληθέντα τὸν ἄνθρωπον, ὥστε καὶ αὖθις ἐπὶ τῶν μαλακῶν καὶ ὑγρῶν ἢ δυσελκῶν σωμάτων ἐχρησάμην αὐτῷ. δυοῖν γὰρ θάτερον, ἢ οὐδὲν ἔβλαψεν ἢ πάντως γε ἐνήργησεν ἀλύπως. τὰ γὰρ πλεῖστα τῶν δραστικῶς καθαιρόντων τοὺς πολύποδας παροξυντικά πως αὐτῶν ἐστιν, ὅταν μὴ τύχῃ τοῦ σκοποῦ. τὰ δὲ ἕλκη τὰ ἐν τοῖς πόροις τῆς ῥινὸς, ἀεὶ διὰ τῶν τροχίσκων ἐθεράπευσα τοῦ τε Ἀνδρωνείου καὶ τοῦ Πασίωνος καὶ τοῦ
12.691 Πολυείδου καὶ τοῦ Βιθυνοῦ καὶ τοῦ συντεθέντος ὑπ᾽ ἐμοῦ, ποτὲ μὲν οἴνῳ γλυκεῖ λειῶν αὐτοὺς, ποτὲ δὲ αὐστηρῷ, καὶ ποτὲ μὲν συμμέτρῳ κατὰ τὴν ἡλικίαν, ποτὲ δὲ παλαιῷ, ποτὲ δὲ καὶ δι᾽ ὄξους ἢ οἰνώδους ἢ ἁπλῶς ὀξέος ἢ καὶ δριμέος πάνυ καὶ παλαιοῦ, κατὰ τὰς εἰρημένας ἐνδείξεις ἀπὸ τῶν κατὰ τὰ πάθη συμπτωμάτων τῆς χρήσεως τῶν φαρμάκων εὑρισκομένης ἐπὶ δὲ πλουσίου τινὸς, ἀξιοῦντος εὐῶδες εἶναι τὸ προσφερόμενον φάρμακον, ἐπὶ τὴν τῆς ὀζαίνης θεραπείαν ἐπενόησα χρήσασθαι τῷ καλουμένῳ ἡδυχρόῳ, δεύων αὐτὸ φαλερίνῳ παλαιῷ, καὶ θαυμαστῶς ὅπως ἐν τάχει τὸ πάθος ἐθεραπεύθη. λέλεκται δὲ ἡ τοῦ ἡδυχρόου σκευασία κατὰ τὴν τῆς θηριακῆς ἀντιδότου γραφήν.

Ἡρακλείδου πρὸς τὰς ἐκ τῶν ῥινῶν αἱμορραγίας πρὸς Ἀντιοχίδα. Εἴρηται μὲν ἱκανῶς καὶ περὶ τούτων ἐν τοῖς τῆς θεραπευτικῆς μεθόδου γράμμασιν, ἀλλὰ νῦν ὅσα διὰ τῆς πεπειραμένης ὕλης ἐγνώσθη τοῖς πρὸ ἡμῶν εἰρήσεται. τοὺς θρόμβους κομισαμένη, κἄπειτα περὶ μηλωτίδα περιθεῖσα ἔριον κάθες εἰς λύκιον, διεὶς δ' αὐτὸ ὕδατι διάχριε τὸν
12.692 αἱμορροοῦντα τόπον. ἢ μοτὸν μακρὸν δεύσασα τῷ λυκίῳ ἔνθες, εἶτα ἔξωθεν περιλαβοῦσα τοῖς δακτύλοις τὸν ῥώθωνα προσπίεσον, ἕως ἂν στῇ τὸ αἷμα. ἢ χαλκῖτιν λεάνασα συμμέτρως καὶ συστρέψασα ἐλλύχνιον κάθες εἰς ψυχρὸν ὕδωρ, εἶτα κυλίσασα ἐν τῇ χαλκίτιδι ἢ πριαπίσκῳ ἐντίθει τοῖς μυξωτῆρσιν. ἢ τῷ σχιστῷ μοτῷ χρῶ, ὡς ἐσωτάτω προσερείδουσα. βέλτιον δὲ καὶ εἰς τὴν ὑπερῴαν τὸν δάκτυλον καθεῖναι, ὅπως μήποτε ὁ σχιστὸς ἔκχηται. ἢ λιβανωτὸν θραύσασα καὶ διαχέασα πολυγόνου χυλῷ. ἢ πράσου καρπὸν χυλίσασα τὸν σχιστόν. ἢ τὸ ἐλλύχνιον κάθιε. ἢ ἡδύοσμον λεάνας κάθιε. ἢ σπόγγον ξηρὸν ἔνθες. ἢ εἰς ἐζεσμένον ὄξος δριμὺ καταθεῖσα τὸ σπογγίον, ἐπιτίθει ἔξωθεν τοῦ αἱμορροοῦντος μυκτῆρος, πιέζουσα μηλωτρίδι μέχρι τοῦ προωσθῆναι. βέλτιον δὲ τὴν ἀρχὴν ἀποδεδέσθαι λίνῳ διὰ βελόνης, ἵνα εὐεξέλκυστον ᾖ. ἐξαίρει δὲ, ὅταν καταπιστεύσῃς. ἐὰν δὲ ξηρὸν γένηται τὸ σπογγίον καὶ κεκολλημένον ἐντὸς, ὠτικῷ κλυστῆρι δίει ψυχρὸν ὕδωρ ἔχοντι καὶ
12.693 ἐκκλύζουσα ἐνύγραινε καὶ οὕτω κομίζου. χρῶ δὲ καὶ ταῖς ἀναγραφησομέναις τραυματικαῖς καὶ ἰσχαίμοις. εὐθετεῖ δὲ καὶ τὸ μέτωπον ψύχειν σπογγίοις καὶ μετέωρα ποιεῖν τὰ ἀπὸ τῆς κεφαλῆς καὶ βραχίονας καὶ καρποὺς καὶ μηροὺς καὶ βουβῶνας καὶ γόνατα ἐν τοῖς συνεσταλμένοις ἀποδεσμεύειν, καθάπερ ἐπὶ φλεβοτομιῶν, καὶ κελεύειν κινεῖν αὐτὰ, χεῖρας μὲν ἀνατρίβοντας, πόδας δὲ βαδίζοντας. πληρουμένων γὰρ αἵματος τῶν ἐνταῦθα φλεβῶν, τὰ περὶ τὰς ῥῖνας λιφαιμήσουσι, καὶ ποτίζειν τοῖς πρὸς τὰς ἀγωγὰς τοῦ αἵματος γραφησομένοις καὶ τὰ ὦτα ἐμφράττειν εὐτόνως ὀθονίοις καὶ κηρῷ, κἀν τῷ στόματι διακατέχειν ὕδωρ ὄμβριον ψυχρόν. ἐὰν δὲ φαίνηται καταπεπόσθαι τι τοῦ αἵματος, καὶ τοῦθ' ἱκανὸν ὂν τῷ πλήθει κενώματι κομίζου. θρομβούμενον γὰρ ἐν κοιλίᾳ καὶ ἐντέροις ἔμπρησιν κατασκευάζει.

Τὰ ὑπ᾽ Ἀσκληπιάδου γεγραμμένα πρὸς τὰς ἐκ ῥινῶν αἱμορραγίας, ἐν τῷ πέμπτῳ τῶν ἐκτὸς ἃ Μαρκέλλης ἐπιγράφει. Τὰ τῆς πλατάνου σφαιρία
12.694 συλλέγων ξήραινε ἐν σκιᾷ καὶ ξηράνας, ἐν δίσκῳ τινὰ χιτῶνα τραχὺν ἐπίτριβε τὰ σφαιρία τῷ ὕφει τοῦ χιτῶνος· εἰ δὲ μή γε, ἐπί τινος τριχίνου παράτριβε, καὶ τὸ μὲν σπέρμα τῶν σφαιρίων ἀπόρριπτε, τὰ δὲ γνάφαλα συλλέγων, ἀποτίθεσο εἰς ἀγγεῖον ὀστράκινον καινόν. ἐπὶ δὲ τῆς χρήσεως τὰ ἐριώδη τῆς πλατάνου ἐνθεὶς εἰς κάλαμον ἀφῃρημένα τὰ γόνατα ἔχοντα, ἀπογλυφὴν δ᾽ ἔχοντα καθ᾽ ὃ μέρος ἐπιτίθεται, τῷ μυκτῆρι ἐμφύσα, συντόμως περιγίνεται τῆς αἱμορραγίας. ἄλλο. χάλκανθον τρίψας ἐπιμελῶς ἀπόθου, ἐπὶ δὲ τῆς χρήσεως ξύσματι ὀθονίων καταβάπτων εἰς τὸ φάρμακον ἐντίθει. σπόγγον ὠμῇ πίσσῃ δεύσας κατάκαυσον καὶ ἐκ τούτου στρεπτὸν ἀναλαβὼν ἐντίθει. ἄλλο. ℞ ὠοῦ κελύφου μέρος ἓν, κηκίδος ὀμφακίτιδος μέρος ἓν, λεῖα στρεπτῷ ὕδατι δεδευμένῳ ἢ ὄξει ἀναλαμβάνων ἐντίθει, τὸ δὲ μέτωπον καὶ τὴν ῥῖνα κατάπλασσε γύψῳ ἢ πηλῷ κεραμικῷ, κρατεῖν δὲ τὰ ὦτα εὐτόνως παραίνει. ἔνιοι δὲ σπόγγον Ἀφρικανὸν καθεψήσαντες ἐν ὄξει δριμυτάτῳ, εἶτα ἐκπιέσαντες καὶ
12.695 τούτῳ περιειλήσαντες διάπυρον λίθον πυκνὸν ὑπεθυμίασαν, κελεύοντες τὸν ἀτμὸν ἀνασπᾶν.

Τὰ ὑπ᾽ Ἀνδρομάχου γεγραμμένα. Πρὸς μὲν τὰς ἐκ ῥινῶν αἱμορραγίας ἰδίως οὐδὲν ἔγραψεν ὁ Ἀνδρόμαχος, ἐπὶ δὲ τῶν ἰσχαίμων τὰ πλεῖστα καὶ ταύτας ἵστησι, διὰ τοῦτο κἀγὼ γράψω τὰ ὑπ᾽ αὐτοῦ γεγραμμένα τοιαῦτα φάρμακα. ἴσχαιμος ᾗ χρῶμαι. ℞ χαλκίτεως, μίσυος, μάννης, ἀνὰ ʃ δ′. λείοις χρῶ. ξανθὴ ᾗ χρῶμαι. ℞ χαλκίτεως ʃ ρ′. χαλκάνθου ʃ ν′. μίσυος ὀπτοῦ ʃ κε′. χαλκοῦ κεκαυμένου ʃ ιβ′ ′′. λείοις χρῶ. ἴσχαιμος ἡ μεγάλη. ℞ μίσυος κυπρίου ʃ ζ′. χαλκάνθου ʃ ζ′. φλοιοῦ πίτυος ʃ δ′. λεπίδος χαλκοῦ ʃ δ′. μάννης λιβάνου ʃ δ′. οἱ δὲ ʃ ιε′. χαλκοῦ κεκαυμένου ʃ ιε′. χαλκίτεως ʃ ιε′. ἀσβέστου ʃ η′. οἱ δὲ ʃ μ′. γύψου πεφωγμένης ʃ δ′. οἱ δὲ ʃ η′. λείοις χρῶ. ἴσχαιμος Ἀφρόδα. ℞ χαλκίτεως ʃ στ′. μάννης λιβάνου ʃ β′. ῥητίνης τερμινθίνης φρυκτῆς ʃ δ′. οἱ δὲ γ′. λείοις χρῶ.